writes and the same that also into discussions he-had-come —
Ἀπελλῇ, φάσκων οὕτως "ὁ γὰρ γέρων Ἀπελλῆς συμμίξας
with-Apelles saying thus the for old-man Apelles having-met
ἡμῖν πολλὰ μὲν κακῶς λέγων ἠλέγχθη, ὅθεν καὶ
us many(-things) indeed wrongly saying was-refuted whence also
ἔφασκε μὴ δεῖν ὅλως ἐξετάζειν τὸν λόγον, ἀλλ'
he-said not to-be-needful at-all to-examine the doctrine but

ἕκαστον, ὡς πεπίστευκε, διαμένειν. σωθήσεσθαι γὰρ τοὺς
each as he-has-believed to-remain to-be-saved for the(-ones)
ἐπὶ τὸν ἐσταυρωμένον ἠλπικότας ἀπεφαίνετο, μόνον ἐὰν ἐν
in the crucified(-one) having-hoped he-declared only if in
ἔργοις ἀγαθοῖς εὑρίσκωνται. τὸ δὲ πάντων ἀσαφέστατον
works good they-are-found the but of-all most-obscure
ἐδογματίζετο αὐτῷ πρᾶγμα, καθὼς προειρήκαμεν, τὸ
was-dogmatized by-him matter as we-have-said-before the(-matter)
περὶ τοῦ θεοῦ. ἔλεγε μὲν γὰρ μίαν ἀρχὴν καθὼς καὶ
about — God he-said indeed for one principle as also
ὁ ἡμέτερος λόγος."
the our doctrine

13.6 εἶτα προθεὶς αὐτοῦ πᾶσαν τὴν δόξαν ἐπιφέρει φάσκων
then having-set-forth his whole the opinion he-adds saying
"λέγοντος δέ μου πρὸς αὐτὸν 'πόθεν ἡ ἀπόδειξις αὕτη
saying and me to him whence the proof this
σοι, ἢ πῶς δύνασαι λέγειν μίαν ἀρχὴν, φράσον ἡμῖν'
for-you or how are-you-able to-say one principle tell us
ἔφη τὰς μὲν προφητείας ἑαυτὰς ἐλέγχειν, διὰ τὸ
he-said the indeed prophecies themselves to-refute because-of the
μηδὲν ὅλως ἀληθὲς εἰρηκέναι· ἀσύμφωνοι γὰρ ὑπάρχουσι
nothing at-all true to-have-said discordant for they-are
καὶ ψευδεῖς καὶ ἑαυταῖς ἀντικείμεναι. τὸ δὲ πῶς ἐστι
and false and to-themselves contradictory the but how is
μία ἀρχὴ μὴ γινώσκειν ἔλεγεν, οὕτω δὲ κινεῖσθαι μόνον.
one principle not to-know he-said thus and to-be-moved only

13.7 εἶτ' ἐπομοσαμένου μου τἀληθὲς εἰπεῖν, ὤμνυεν ἀληθεύων
then having-adjured me the-truth to-tell he-swore speaking-truly
λέγειν, μὴ ἐπίστασθαι πῶς εἷς ἐστιν ἀγέννητος θεὸς, τοῦτο
to-say not to-know how one is unbegotten God this
δὲ πιστεύειν. ἐγὼ δὲ γελάσας κατέγνων αὐτοῦ, διότι
and to-believe I and having-laughed condemned him because

διδάσκαλος εἶναι λέγων οὐκ ᾔδει τὸ διδασκόμενον
teacher to-be saying not he-knew the(-thing) being-taught
ὑπ᾽ αὐτοῦ κρατύνειν.”
by him to-establish
ἐν τῷ αὐτῷ δὲ συγγράμματι Καλλιστίωνι προσφωνῶν ὁ 13.8
in the same and treatise to-Callistio addressing the
αὐτὸς μεμαθητεῦσθαι ἐπὶ Ῥώμης Τατιανῷ ἑαυτὸν ὁμολογεῖ.
same to-have-been-taught in Rome by-Tatian himself confesses
φησὶ δὲ καὶ ἐσπουδάσθαι τῷ Τατιανῷ προβλημάτων
he-says and also to-have-been-labored — by-Tatian of-Problems
βιβλίον, δι᾽ ὧν τὸ ἀσαφὲς καὶ ἐπικεκρυμμένον τῶν
(a)-book through which the obscure and concealed(-part) of-the
θείων γραφῶν παραστήσειν ὑποσχομένου τοῦ Ταταινοῦ
divine scriptures to-set-forth having-promised — Tatian
αὐτὸς ὁ Ῥόδων ἐν ἰδίῳ συγγράμματι τὰς τῶν ἐκείνου
himself — Rhodo in own treatise the of-the that(-man's)
προβλημάτων ἐπιλύσεις ἐκθήσεσθαι ἐπαγγέλλεται. φέρεται
problems solutions to-set-forth promises is-current
δὲ τοῦ αὐτοῦ καὶ εἰς τὴν ἑξαήμερον ὑπόμνημα.
and of-the same also on the Hexaemeron (a)-commentary
ὅ γέ τοι Ἀπελλῆς οὗτος μυρία κατὰ τοῦ 13.9
— at-least surely Apelles this-one countless(-impieties) against the
Μωυσέως ἠσέβησε νόμου, διὰ πλειόνων συγγραμμάτων
of-Moses committed-impiety law through more writings
τοὺς θείους βλασφημήσας λόγους, εἰς ἔλεγχόν τε, ὥς γε
the divine having-blasphemed words for refutation both as at-least
δὴ ἐδόκει, καὶ ἀνατροπὴν αὐτῶν οὐ μικρὰν πεποιημένος
indeed he-thought and overthrow of-them not small having-made
σπουδήν. ταῦτα μὲν οὖν περὶ τούτων.
zeal these-things indeed then about these

14.1 Μισόκαλός γε μὴν ἐς τὰ μάλιστα καὶ φιλοπόνηρος ὢν
virtue-hating at-least indeed to the most and wickedness-loving being
ὁ τῆς ἐκκλησίας τοῦ θεοῦ πολέμιος, μηδένα τε μηδαμῶς
the of-the church — of-God enemy no and in-no-way
τῆς κατὰ τῶν ἀνθρώπων ἀπολιπὼν ἐπιβουλῆς τρόπον,
of-the against the men having-left plot manner
αἱρέσεις ξένας αὖθις ἐπιφύεσθαι κατὰ τῆς ἐκκλησίας
heresies strange again to-spring-up against the church
ἐνήργει, ὧν οἱ μὲν ἰοβόλων δίκην ἑρπετῶν ἐπὶ τῆς
worked of-whom some indeed of-venomous like reptiles over —
Ἀσίας καὶ Φρυγίας εἶρπον, τὸν μὲν παράκλητον Μοντανὸν,
Asia and Phrygia crept the indeed Paraclete Montanus
τὰς δ' ἐξ αὐτοῦ γυναῖκας, Πρίσκιλλαν καὶ Μαξίμιλλαν,
the and from him women Priscilla and Maximilla
ὡσὰν τοῦ Μοντανοῦ προφήτιδας γεγονυίας αὐχοῦντες.
as — of-Montanus prophetesses having-become boasting

15.1 οἱ δ' ἐπὶ Ῥώμης ἤκμαζον, ὧν ἡγεῖτο Φλωρῖνος,
others and in Rome flourished of-whom led Florinus
πρεσβυτερίου τῆς ἐκκλησίας ἀποπεσὼν, Βλάστος τε σὺν
from-(the)-presbyterate of-the church having-fallen Blastus and with
τούτῳ παραπλησίῳ πτώματι κατεσχημένος. οἳ καὶ πλείους
him in-like fall held who also many
τῆς ἐκκλησίας περιέλκοντες ἐπὶ τὸ σφῶν ὑπῆγον βούλημα,
of-the church dragging-away to the their-own led(-them) will
θάτερος ἰδίως περὶ τὴν ἀλήθειαν νεωτερίζειν πειρώμενος.
the-one separately about the truth to-make-innovations trying

An anonymous writer, urged by Avircius Marcellus, tells how Montanus at Ardabau began to prophesy in ecstasy and two women were filled with the same false spirit, so that the churches of Asia expelled them. He reports the rumor that Montanus and Maximilla hanged themselves, that Maximilla's prophecies of war proved false, and that Montanist martyrs prove nothing. Miltiades argues that a true prophet does not speak in ecstasy, and the Anonymous lists the genuine prophets of the new covenant.

Πρὸς μὲν οὖν τὴν λεγομένην κατὰ Φρύγας αἵρεσιν 16.1
against indeed then the called after (the)-Phrygians heresy
ὅπλον ἰσχυρὸν καὶ ἀκαταγώνιστον ἐπὶ τῆς Ἱεραπόλεως τὸν
(a)-weapon strong and invincible at — Hierapolis —
Ἀπολινάριον, οὗ καὶ πρόσθεν μνήμην ὁ λόγος πεποίητο,
Apolinarius of-whom also before mention the account had-made
ἄλλους τε σὺν αὐτῷ πλείους τῶν τηνικάδε λογίων ἀνδρῶν
others and with him many of-the then learned men
ἡ τῆς ἀληθείας ὑπέρμαχος ἀνίστη δύναμις, ἐξ ὧν καὶ
the of-the truth champion raised-up power from whom also
ἡμῖν ἱστορίας πλείστη τις ὑπόθεσις καταλέλειπται.
for-us of-history very-much some material has-been-left
ἀρχόμενος γοῦν τῆς κατ᾽ αὐτῶν γραφῆς τῶν εἰρημένων 16.2
beginning at-any-rate of-the against them writing of-the said(-men)
δή τις πρῶτον ἐπισημαίνεται, ὡς καὶ ἀγράφοις τοῖς
indeed one first indicates that also with-unwritten the
κατ᾽ αὐτῶν ἐπεξέλθοι ἐλέγχοις. προοιμιάζεται γοῦν
against them he-had-proceeded refutations he-begins at-any-rate
τοῦτον τὸν τρόπον
in-this the manner

16.3 "ἐκ πλείστου ὅσου καὶ ἱκανωτάτου χρόνου, ἀγαπητὲ
for very-long as-much and most-sufficient time beloved
Ἀουίρκιε Μάρκελλε, ἐπιταχθεὶς ὑπὸ σοῦ συγγράψαι
Avircius Marcellus having-been-enjoined by you to-write
τινὰ λόγον εἰς τὴν τῶν κατὰ Μιλτιάδην λεγομένων
some treatise against the of-the(-ones) after Miltiades called
αἵρεσιν, ἐφεκτικώτερόν πως μέχρι νῦν διεκείμην, οὐκ
heresy more-hesitantly somehow until now I-was-disposed not
ἀπορίᾳ τοῦ δύνασθαι ἐλέγχειν μὲν τὸ ψεῦδος, μαρτυρεῖν
from-lack of-the to-be-able to-refute indeed the lie to-bear-witness
δὲ τῇ ἀληθείᾳ, δεδιὼς δὲ καὶ ἐξευλαβούμενος μή πη
and to-the truth fearing but and being-cautious lest somehow
δόξω τισὶν ἐπισυγγράφειν ἢ ἐπιδιατάσσεσθαι τῷ
I-should-seem to-some to-add-writing or to-add-ordinances to-the
τῆς τοῦ εὐαγγελίου καινῆς διαθήκης λόγῳ, ᾧ μήτε
of-the of-the gospel new covenant word to-which neither
προσθεῖναι μήτ' ἀφελεῖν δυνατὸν τῷ κατὰ τὸ
to-add nor to-take-away (is)-possible for-the(-one) according-to the
εὐαγγέλιον αὐτὸ πολιτεύεσθαι προῃρημένῳ.
gospel itself to-live having-chosen

16.4 προσφάτως δὲ γενόμενος ἐν Ἀγκύρᾳ τῆς Γαλατίας, καὶ
recently and having-been in Ancyra — of-Galatia and
καταλαβὼν τὴν κατὰ Πόντον ἐκκλησίαν ὑπὸ τῆς νέας
having-found the in Pontus church by the new
ταύτης, οὐχ, ὡς αὐτοί φασι, προφητείας, πολὺ δὲ μᾶλλον,
this not as they say prophecy much but more
ὡς δειχθήσεται, ψευδοπροφητείας διατεθρυλημένην, καθ'
as will-be-shown false-prophecy noised-about as-far
ὅσον δυνατὸν, τοῦ κυρίου παρασχόντος, περὶ αὐτῶν τε
as possible the Lord having-granted about themselves both
τούτων καὶ τῶν προτεινομένων ὑπ' αὐτῶν ἕκαστά
these and the(-things) put-forward by them each

τε διελέχθημεν ἡμέραις πλείοσιν ἐν τῇ ἐκκλησίᾳ, ὡς
and we-discussed for-days many in the church so-that
τὴν μὲν ἐκκλησίαν ἀγαλλιασθῆναι καὶ πρὸς τὴν ἀλήθειαν
the indeed church to-rejoice and toward the truth
ἐπιρρωσθῆναι, τοὺς δ' ἐξ ἐναντίας πρὸς τὸ παρὸν
to-be-strengthened the(-ones) and of (the)-opposing(-side) for the present
ἀποκρουσθῆναι, καὶ τοὺς ἀντιθέους λυπηθῆναι.
to-be-repulsed and the opponents-of-God to-be-grieved
ἀξιούντων οὖν τῶν κατὰ τόπον πρεσβυτέρων, ὅπως 16.5
asking then the in (the)-place elders that
τῶν λεχθέντων κατὰ τῶν ἀντιδιατιθεμένων τῷ τῆς
of-the(-things) spoken against the(-ones) opposing to-the of-the
ἀληθείας λόγῳ ὑπόμνημά τι καταλίπωμεν, παρόντος καὶ
truth word memorandum some we-should-leave being-present also
τοῦ συμπρεσβυτέρου ἡμῶν Ζωτικοῦ τοῦ Ὀτρηνοῦ, τοῦτο
the fellow-elder our Zoticus the Otrenian this
μὲν οὐκ ἐπράξαμεν, ἐπηγγειλάμεθα δὲ, ἐνθάδε γράψαντες
indeed not we-did we-promised but here having-written
τοῦ κυρίου διδόντος διὰ σπουδῆς πέμψειν αὐτοῖς."
the Lord granting with zeal to-send(-it) to-them
ταῦτα καὶ ἑξῆς τούτοις ἕτερα κατ' ἀρχὰς εἰπὼν 16.6
these-things and next to-these other(-things) at (the)-beginning having-said
τοῦ λόγου, τὸν αἴτιον τῆς δηλουμένης αἱρέσεως προϊὼν
of-the treatise the cause of-the shown heresy proceeding
τοῦτον ἀνιστορεῖ τὸν τρόπον "ἡ τοίνυν ἔνστασις αὐτῶν
in-this he-records the manner the therefore opposition their
καὶ ἡ πρόσφατος τοῦ ἀποσχίσματος αἵρεσις πρὸς τὴν
and the recent of-the schism heresy against the
ἐκκλησίαν τὴν αἰτίαν ἔσχε τοιαύτην.
church the cause had such

16.7 κώμη τις εἶναι λέγεται ἐν τῇ κατὰ τὴν Φρυγίαν
village some to-be is-said in the in — Phrygia
Μυσίᾳ, καλουμένη Ἀρδαβαῦ τοὔνομα· ἔνθα φασί τινα
Mysia called Ardabau by-name where they-say one
τῶν νεοπίστων πρώτως, Μοντανὸν τοὔνομα, κατὰ
of-the new-believers first Montanus by-name under
Γρᾶτον Ἀσίας ἀνθύπατον, ἐν ἐπιθυμίᾳ ψυχῆς ἀμέτρῳ
Gratus of-Asia proconsul in desire of-soul immoderate
φιλοπρωτείας δόντα πάροδον εἰς ἑαυτὸν τῷ ἀντικειμένῳ
of-love-of-preeminence having-given entrance into himself to-the adversary
πνευματοφορηθῆναί τε καὶ αἰφνιδίως ἐν κατοχῇ τινι καὶ
to-have-been-carried-by-the-spirit both and suddenly in possession some and
παρεκστάσει γενόμενον ἐνθουσιᾶν ἄρξασθαί τε λαλεῖν καὶ
frenzy having-been to-be-inspired to-have-begun and to-speak and
ξενοφωνεῖν, παρὰ τὸ κατὰ παράδοσιν καὶ κατὰ
to-utter-strange(-things) contrary-to the according-to tradition and according-to
διαδοχὴν ἄνωθεν τῆς ἐκκλησίας ἔθος δῆθεν προφητεύοντα.
succession from-of-old of-the church custom supposedly prophesying

16.8 τῶν δὲ κατ᾽ ἐκεῖνο καιροῦ ἐν τῇ τῶν νόθων
of-the(-ones) and at that time in the of-the spurious
ἐκφωνημάτων ἀκροάσει γενομένων οἱ μὲν ὡς ἐπὶ
utterances hearing having-been some indeed as at
ἐνεργουμένῳ καὶ δαιμονῶντι καὶ ἐν πλάνης πνεύματι
possessed(-one) and demon-ridden and in of-error spirit
ὑπάρχοντι καὶ τοὺς ὄχλους ταράττοντι ἀχθόμενοι
being and the crowds disturbing being-vexed
ἐπετίμων καὶ λαλεῖν ἐκώλυον, μεμνημένοι τῆς τοῦ κυρίου
rebuked(-him) and to-speak forbade remembering of-the of-the Lord
διαστολῆς τε καὶ ἀπειλῆς πρὸς τὸ φυλάττεσθαι τὴν
distinction both and threat for the to-guard-against the
τῶν ψευδοπροφητῶν ἐγρηγορότως παρουσίαν· οἱ δὲ
of-the false-prophets watchfully coming others and

ὡς ἁγίῳ πνεύματι καὶ προφητικῷ χαρίσματι ἐπαιρόμενοι
as by-holy spirit and prophetic gift elated
καὶ οὐχ ἥκιστα χαυνούμενοι, καὶ τῆς διαστολῆς τοῦ
and not least puffed-up and of-the distinction of-the
κυρίου ἐπιλανθανόμενοι, τὸ βλαψίφρον καὶ ὑποκοριστικὸν
Lord forgetting the mind-harming and wheedling
καὶ λαοπλάνον πνεῦμα προυκαλοῦντο, θελγόμενοι καὶ
and people-deceiving spirit called-forth charmed and
πλανώμενοι ὑπ᾽ αὐτοῦ, εἰς τὸ μηκέτι κωλύεσθαι σιωπᾶν.
deceived by it for the no-longer to-be-forbidden to-keep-silent
τέχνῃ δέ τινι, μᾶλλον δὲ τοιαύτῃ μεθόδῳ κακοτεχνίας ὁ 16.9
by-art and some rather and by-such method of-artifice the
διάβολος τὴν κατὰ τῶν παρηκόων ἀπώλειαν μηχανησάμενος,
devil the against the disobedient destruction having-contrived
καὶ παρ᾽ ἀξίαν ὑπ᾽ αὐτῶν τιμώμενος, ὑπεξήγειρέ τε
and beyond worth by them honored stirred-up both
καὶ προσεξέκαυσεν αὐτῶν τὴν ἀποκεκοιμημένην ἀπὸ
and further-inflamed their the lulled-asleep from
τῆς κατ᾽ ἀλήθειαν πίστεως διάνοιαν, ὡς καὶ ἑτέρας
the in truth faith mind so-that even other
τινὰς δύο γυναῖκας ἐπεγεῖραι καὶ τοῦ νόθου πνεύματος
some two women to-raise-up and of-the spurious spirit
πληρῶσαι, ὡς καὶ λαλεῖν ἐκφρόνως καὶ ἀκαίρως καὶ
to-fill so-that also to-speak madly and unseasonably and
ἀλλοτριοτρόπως, ὁμοίως τῷ προειρημένῳ, καὶ τοὺς
strangely likewise to-the aforesaid(-one) and the(-ones)
μὲν χαίροντας καὶ χαυνουμένους ἐπ᾽ αὐτῷ μακαρίζοντος
indeed rejoicing and puffed-up in him blessing
τοῦ πνεύματος, καὶ διὰ τοῦ μεγέθους τῶν ἐπαγγελμάτων
the spirit and through the greatness of-the promises
ἐκφυσιοῦντος, ἔσθ᾽ ὅπη δὲ καὶ κατακρίνοντος στοχαστικῶς
puffing(-them)-up there-is where and also condemning shrewdly

καὶ ἀξιοπίστως αὐτοὺς ἄντικρυς, ἵνα καὶ ἐλεγκτικὸν
and plausibly them openly that also reproving
εἶναι δοκῇ, (ὀλίγοι δ' ἦσαν οὗτοι τῶν Φρυγῶν
to-be it-might-seem few and were these of-the Phrygians
ἐξηπατημένοι), τὴν δὲ καθόλου καὶ πᾶσαν τὴν ὑπὸ
deceived the but whole and all the under
τὸν οὐρανὸν ἐκκλησίαν βλασφημεῖν διδάσκοντος τοῦ
the heaven church to-blaspheme teaching the
ἀπηυθαδισμένου πνεύματος, ὅτι μήτε τιμὴν μήτε πάροδον
arrogant spirit because neither honor nor entrance
εἰς αὐτὴν τὸ ψευδοπροφητικὸν ἐλάμβανε πνεῦμα.
into it the false-prophetic received spirit

16.10 τῶν γὰρ κατὰ τὴν Ἀσίαν πιστῶν πολλάκις καὶ πολλαχῇ
the for in — Asia faithful often and in-many-places
τῆς Ἀσίας εἰς τοῦτο συνελθόντων, καὶ τοὺς προσφάτους
— of-Asia for this having-come-together and the new
λόγους ἐξετασάντων καὶ βεβήλους ἀποφηνάντων καὶ
words having-examined and profane having-declared(-them) and
ἀποδοκιμασάντων τὴν αἵρεσιν, οὕτω δὴ τῆς τε
having-rejected the heresy thus indeed from-the both
ἐκκλησίας ἐξεώσθησαν καὶ τῆς κοινωνίας εἴρχθησαν."
church they-were-thrust-out and from-the communion were-shut-out

16.11 ταῦτα ἐν πρώτοις ἱστορήσας, καὶ δι' ὅλου τοῦ
these-things at (the)-first having-recorded and through whole the
συγγράμματος τὸν ἔλεγχον τῆς κατ' αὐτοὺς πλάνης
treatise the refutation of-the in their(-case) error
ἐπαγαγών, ἐν τῷ δευτέρῳ περὶ τῆς τελευτῆς τῶν
having-brought in the second about the death of-the
προδεδηλωμένων ταῦτά φησιν "ἐπειδὴ τοίνυν καὶ
before-shown(-men) these-things he-says since therefore also
προφητοφόντας ἡμᾶς ἀπεκάλουν, ὅτι μὴ τοὺς
prophet-slayers us they-called because not the

ἀμετροφώνους αὐτῶν προφήτας ἐδεξάμεθα, (τούτους γὰρ
immoderate-talking their prophets we-received these for
εἶναί φασιν, οὕσπερ ἐπηγγείλατο τῷ λαῷ πέμψειν ὁ
to-be they-say whom promised to-the people to-send the
κύριος), ἀποκρινάσθωσαν ἡμῖν πρὸς θεοῦ, ἔστι τις, ὦ
Lord let-them-answer us before God is-there anyone O
βέλτιστοι, τούτων τῶν ἀπὸ Μοντανοῦ καὶ τῶν γυναικῶν
best(-men) of-these the(-ones) from Montanus and the women
λαλεῖν ἀρξαμένων, ὅστις ὑπὸ Ἰουδαίων ἐδιώχθη ἢ ὑπὸ
to-speak having-begun who by Jews was-persecuted or by
παρανόμων ἀπεκτάνθη;
lawless(-men) was-killed

οὐδείς. οὐδέ γέ τις αὐτῶν κρατηθεὶς ὑπὲρ τοῦ 16.12
no-one not-even at-least any of-them having-been-seized for the
ὀνόματος ἀνεσταυρώθη. οὐ γὰρ οὖν. οὐδὲ μὴν οὐδὲ ἐν
name was-crucified not for then nor indeed not-even in
συναγωγαῖς Ἰουδαίων τῶν γυναικῶν τις ἐμαστιγώθη ποτὲ
synagogues of-Jews of-the women any was-scourged ever
ἢ ἐλιθοβολήθη. οὐδαμόσε οὐδαμῶς.
or was-stoned nowhere in-no-way

ἄλλῳ δὲ θανάτῳ τελευτῆσαι λέγονται Μοντανός τε 16.13
by-another and death to-have-died are-said Montanus both
καὶ Μαξίμιλλα. τούτους γὰρ ὑπὸ πνεύματος βλαψίφρονος
and Maximilla these for by (a)-spirit mind-harming
ἑκατέρους ὑποκινήσαντος λόγος ἀναρτῆσαι ἑαυτοὺς,
each having-instigated (the)-account (is)-to-have-hanged themselves
οὐχ ὁμοῦ, κατὰ δὲ τὸν τῆς ἑκάστου τελευτῆς καιρὸν
not together at and the of-the of-each death time
φήμη πολλή, καὶ οὕτω δὲ τελευτῆσαι καὶ τὸν βίον
(the)-report (is)-much and thus too to-have-died and the life
καταστρέψαι Ἰούδα προδότου δίκην.
to-have-ended of-Judas of-(the)-traitor like

16.14 καθάπερ καὶ τὸν θαυμαστὸν ἐκεῖνον τὸν πρῶτον τῆς
as also the wonderful that(-man) the first of-the
κατ᾽ αὐτοὺς λεγομένης προφητείας οἷον ἐπίτροπόν τινα
in their(-case) called prophecy as steward some
Θεόδοτον πολὺς αἱρεῖ λόγος, ὡς αἰρόμενόν ποτε καὶ
Theodotus much holds report as being-lifted-up once and
ἀναλαμβανόμενον εἰς οὐρανοὺς παρεκστῆναί τε καὶ
taken-up into heavens to-have-gone-into-a-trance both and
καταπιστεῦσαι ἑαυτὸν τῷ τῆς ἀπάτης πνεύματι, καὶ
to-have-entrusted himself to-the of-the deceit spirit and
δισκευθέντα κακῶς τελευτῆσαι.
having-been-whirled badly to-have-died

16.15 φασὶ γοῦν τοῦτο οὕτως γεγονέναι, ἀλλὰ μὴ ἄνευ τοῦ ἰδεῖν
they-say at-any-rate this thus to-have-happened but not without the to-see
ἡμᾶς ἐπίστασθαί τι τῶν τοιούτων νομίζομεν, ὦ μακάριε.
us to-know anything of-the such(-things) we-think O blessed(-man)
ἴσως μὲν γὰρ οὕτως, ἴσως δὲ οὐχ οὕτως τετελευτήκασι
perhaps indeed for thus perhaps but not thus have-died
Μοντανός τε καὶ Θεόδοτος καὶ ἡ προειρημένη γυνή.”
Montanus both and Theodotus and the aforesaid woman

16.16 αὖθις δ᾽ ἐν τῷ αὐτῷ φησι λόγῳ τοὺς τότε ἱεροὺς
again and in the same he-says treatise the then holy
ἐπισκόπους πεπειρᾶσθαι μὲν τὸ ἐν τῇ Μαξιμίλλῃ πνεῦμα
bishops to-have-tried indeed the in — Maximilla spirit
διελέγξαι, κεκωλύσθαι δὲ πρὸς ἑτέρων, συνεργούντων
to-refute to-have-been-hindered but by others cooperating
δηλαδὴ τῷ πνεύματι.
plainly with-the spirit

16.17 γράφει δὲ οὕτως “καὶ μὴ λεγέτω ἐν τῷ αὐτῷ λόγῳ τῷ
he-writes and thus and not let-it-say in the same treatise the
κατὰ Ἀστέριον Οὐρβανὸν τὸ διὰ Μαξιμίλλης πνεῦμα
according-to Asterius Urbanus the through Maximilla spirit

‘διώκομαι ὡς λύκος ἐκ προβάτων· οὐκ εἰμὶ λύκος· ῥῆμά
I-am-driven-away like (a)-wolf from sheep not I-am (a)-wolf word
εἰμι καὶ πνεῦμα καὶ δύναμις’, ἀλλὰ τὴν ἐν τῷ πνεύματι
I-am and spirit and power but the in the spirit
δύναμιν ἐναργῶς δειξάτω καὶ ἐλεγξάτω, καὶ ἐξομολογεῖσθαι
power clearly let-it-show and let-it-prove and to-confess
διὰ τοῦ πνεύματος καταναγκασάτω τοὺς τότε παρόντας
through the spirit let-it-compel the then present
εἰς τὸ δοκιμάσαι καὶ διαλεχθῆναι τῷ πνεύματι λαλοῦντι,
for the to-test and to-converse with-the spirit speaking
ἄνδρας δοκίμους καὶ ἐπισκόπους, Ζωτικὸν ἀπὸ Κομάνης
men approved and bishops Zoticus from Comana
κώμης καὶ Ἰουλιανὸν ἀπὸ Ἀπαμείας, ὧν οἱ περὶ
(the)-village and Julian from Apamea whose the(-men) around
Θεμίσωνα τὰ στόματα φιμώσαντες οὐκ εἴασαν τὸ ψευδὲς
Themiso the mouths having-muzzled not permitted the false
καὶ λαοπλάνον πνεῦμα ὑπ’ αὐτῶν ἐλεγχθῆναι.”
and people-deceiving spirit by them to-be-refuted
ἐν ταὐτῷ δὲ πάλιν ἕτερα μεταξὺ πρὸς ἔλεγχον 16.18
in the-same and again other(-things) between for refutation
τῶν τῆς Μαξιμίλλης ψευδοπροφητειῶν εἰπὼν, ὁμοῦ
of-the — of-Maximilla false-prophecies having-said at-once
τόν τε χρόνον καθ’ ὃν ταῦτ’ ἔγραφε σημαίνει καὶ
the both time at which these-things he-wrote he-indicates and
τῶν προρρήσεων αὐτῆς μέμνηται, δι’ ὧν πολέμους
of-the predictions her he-mentions through which wars
ἔσεσθαι καὶ ἀκαταστασίας προεμαντεύσατο, ὧν καὶ τὴν
to-be and anarchies she-foretold of-which also the
ψευδολογίαν εὐθύνει ὧδε λέγων “καὶ πῶς οὐ καταφανὲς
falsehood he-corrects thus saying and how not manifest
ἤδη γέγονε καὶ τοῦτο τὸ ψεῦδος;
already has-become also this the lie

16.19 πλείω γὰρ ἢ τρισκαίδεκα ἔτη εἰς ταύτην τὴν ἡμέραν,
more for than thirteen years to this the day
ἐξ οὗ τετελεύτηκεν ἡ γυνὴ, καὶ οὔτε μερικὸς οὔτε
since which has-died the woman and neither partial nor
καθολικὸς κόσμῳ γέγονε πόλεμος, ἀλλὰ καὶ Χριστιανοῖς
universal in-the-world has-been war but also for-Christians
μᾶλλον εἰρήνη διάμονος ἐξ ἐλέου θεοῦ". καὶ ταῦτα
rather peace lasting from (the)-mercy of-God and these-things
δὲ ἐκ τοῦ δευτέρου συγγράμματος.
too (are)-from the second treatise

16.20 καὶ ἀπὸ τοῦ τρίτου δὲ σμικρὰς παραθήσομαι λέξεις,
and from the third and small I-shall-set-forth words
δι' ὧν πρὸς τοὺς αὐχοῦντας, ὡς ἄρα πλείους καὶ
through which against the(-ones) boasting that after-all more also
αὐτῶν μεμαρτυρηκότες εἶεν, ταῦτά φησιν "ὅταν τοίνυν
of-them having-been-martyred were these-things he-says when therefore
ἐν πᾶσι τοῖς εἰρημένοις ἐλεγχθέντες ἀπορήσωσιν, ἐπὶ τοὺς
in all the said(-things) refuted they-are-at-a-loss to the
μάρτυρας πειρῶνται καταφεύγειν, λέγοντες πολλοὺς ἔχειν
martyrs they-try to-flee saying many to-have
μάρτυρας, καὶ τοῦτο εἶναι τεκμήριον πιστὸν τῆς δυνάμεως
martyrs and this to-be (a)-proof trustworthy of-the power
τοῦ παρ' αὐτοῖς λεγομένου προφητικοῦ πνεύματος. τὸ δ'
of-the among them called prophetic spirit the but
ἔστιν ἄρα, ὡς ἔοικε, παντὸς μᾶλλον οὐκ ἀληθές.
is after-all as it-seems than-anything more not true

16.21 καὶ γὰρ τῶν ἄλλων αἱρέσεών τινες πλείστους ὅσους ἔχουσι
and for of-the other heresies some very-many as-many have
μάρτυρας, καὶ οὐ παρὰ τοῦτο δήπου συγκαταθησόμεθα, οὐδὲ
martyrs and not because-of this surely shall-we-agree nor
ἀλήθειαν ἔχειν αὐτοὺς ὁμολογήσομεν. καὶ πρῶτοί γε οἱ
truth to-have them shall-we-confess and first at-least the(-ones)

ἀπὸ τῆς Μαρκίωνος αἱρέσεως Μαρκιωνισταὶ καλούμενοι
from the of-Marcion heresy Marcionites called
πλείστους ὅσους ἔχειν Χριστοῦ μάρτυρας λέγουσιν, ἀλλὰ
very-many as-many to-have of-Christ martyrs say but
τόν γε Χριστὸν αὐτὸν κατ᾽ ἀλήθειαν οὐχ ὁμολογοῦσι.᾽᾽
— at-least Christ himself according-to truth not they-confess
καὶ μετὰ βραχέα τούτοις ἐπιφέρει λέγων “ὅθεν τοι καὶ
and after brief(-words) to-these he-adds saying whence surely also
ἐπειδὰν οἱ ἐπὶ τὸ τῆς κατ᾽ ἀλήθειαν πίστεως
when the(-ones) to the of-the according-to truth faith
μαρτύριον κληθέντες ἀπὸ τῆς ἐκκλησίας τύχωσι μετά τινων
martyrdom called from the church happen with some
τῶν ἀπὸ τῆς τῶν Φρυγῶν αἱρέσεως λεγομένων μαρτύρων,
of-the from the of-the Phrygians heresy called martyrs
διαφέρονταί τε πρὸς αὐτοὺς καὶ μὴ κοινωνήσαντες αὐτοῖς
they-differ both with them and not having-communicated with-them
τελειοῦνται, διὰ τὸ μὴ βούλεσθαι συγκαταθέσθαι τῷ
they-are-perfected because-of the not to-wish to-assent to-the
διὰ Μοντανοῦ καὶ τῶν γυναικῶν πνεύματι.
through Montanus and the women spirit
καὶ ὅτι τοῦτο ἀληθὲς καὶ ἐπὶ τῶν ἡμετέρων χρόνων 16.22
and that this (is)-true also in the our times
ἐν Ἀπαμείᾳ τῇ πρὸς Μαιάνδρῳ τυγχάνει γεγενημένον
in Apamea the(-one) on (the)-Maeander happens having-occurred
ἐν τοῖς περὶ Γάϊον καὶ Ἀλέξανδρον ἀπὸ Εὐμενείας
among the(-men) around Gaius and Alexander from Eumenia
μαρτυρήσασι πρόδηλον.᾽᾽
having-been-martyred (is)-evident
Ἐν τούτῳ δὲ τῷ συγγράμματι καὶ Μιλτιάδου συγγραφέως 17.1
in this and the treatise also of-Miltiades (a)-writer
μέμνηται, ὡς λόγον τινὰ καὶ αὐτοῦ κατὰ τῆς
he-makes-mention as treatise some also him against the

προειρημένης αἱρέσεως γεγραφότος. παραθέμενος γοῦν
aforesaid heresy having-written having-set-forth at-any-rate
αὐτῶν λέξεις τινὰς ἐπιφέρει λέγων "ταῦτα εὑρὼν ἔν
their words some he-adds saying these-things having-found in
τινι συγγράμματι αὐτῶν ἐνισταμένων τῷ Μιλτιάδου τοῦ
some writing of-them opposing to-the of-Miltiades the
ἀδελφοῦ συγγράμματι, ἐν ᾧ ἀποδείκνυσι περὶ τοῦ μὴ
brother writing in which he-proves about the not
δεῖν προφήτην ἐν ἐκστάσει λαλεῖν, ἐπετεμόμην."
to-be-needful (a)-prophet in ecstasy to-speak I-abridged(-them)

17.2 ὑποκαταβὰς δὲ ἐν αὐτῷ τοὺς κατὰ τὴν καινὴν διαθήκην
having-gone-down and in it the(-ones) in the new covenant
προπεφητευκότας καταλέγει, ἐν οἷς καταριθμεῖ Ἀμμίαν
having-prophesied he-lists among whom he-counts Ammia
τινὰ καὶ Κοδρᾶτον, λέγων οὕτως "ἀλλ' ὅ γε
(a)-certain and Quadratus saying thus but the at-least
ψευδοπροφήτης ἐν παρεκστάσει, ᾧ ἕπεται ἄδεια καὶ
false-prophet (is)-in frenzy which follows license and
ἀφοβία, ἀρχόμενος μὲν ἐξ ἑκουσίου ἀμαθίας, καταστρέφων
fearlessness beginning indeed from voluntary ignorance ending
δὲ εἰς ἀκούσιον μανίαν ψυχῆς, ὡς προείρηται.
but in involuntary madness of-soul as has-been-said

17.3 τοῦτον δὲ τὸν τρόπον οὔτε τινὰ τῶν κατὰ τὴν
in-this and the manner neither any of-the(-ones) in the
παλαιὰν, οὔτε τῶν κατὰ τὴν καινὴν πνευματοφορηθέντα
old nor of-the(-ones) in the new borne-by-the-spirit
προφήτην δεῖξαι δυνήσονται, οὔτε Ἄγαβον, οὔτε Ἰούδαν,
prophet to-show will-they-be-able neither Agabus nor Judas
οὔτε Σίλαν, οὔτε τὰς Φιλίππου θυγατέρας, οὔτε τὴν
nor Silas nor the of-Philip daughters nor —

ἐν Φιλαδελφείᾳ Ἀμμίαν, οὔτε Κοδρᾶτον, οὔτε γε δή
in Philadelphia Ammia nor Quadratus nor at-least indeed
τινας ἄλλους μηδὲν αὐτοῖς προσήκοντας καυχήσονται."
any others nothing to-them belonging will-they-boast-of
καὶ αὖθις δὲ μετὰ βραχέα ταῦτά φησιν "εἰ γὰρ μετὰ 17.4
and again too after brief(-words) these-things he-says if for after
Κοδρᾶτον καὶ τὴν ἐν Φιλαδελφείᾳ Ἀμμίαν, ὥς φασιν,
Quadratus and — in Philadelphia Ammia as they-say
αἱ περὶ Μοντανὸν διεδέξαντο γυναῖκες τὸ προφητικὸν
the around Montanus succeeded-to women the prophetic
χάρισμα, τοὺς ἀπὸ Μοντανοῦ καὶ τῶν γυναικῶν τίνες
gift the(-ones) from Montanus and the women who
παρ' αὐτοῖς διεδέξαντο δειξάτωσαν· δεῖν γὰρ εἶναι
among them succeeded let-them-show to-be-needful for to-be
τὸ προφητικὸν χάρισμα ἐν πάσῃ τῇ ἐκκλησίᾳ μέχρι
the prophetic gift in all the church until
τῆς τελείας παρουσίας ὁ ἀπόστολος ἀξιοῖ· ἀλλ' οὐκ ἂν
the final coming the apostle thinks-fit but not —
ἔχοιεν δεῖξαι τεσσαρεσκαιδέκατον ἤδη που τοῦτο
could-they-have to-show (the)-fourteenth already somewhere this
ἔτος ἀπὸ τῆς Μαξιμίλλης τελευτῆς."
year from the of-Maximilla death
οὗτος μὲν δὴ τοσαῦτα. ὅ γέ τοι πρὸς αὐτοῦ 17.5
this-one indeed indeed so-much — at-least surely by him
δεδηλωμένος Μιλτιάδης καὶ ἄλλας ἡμῖν τῆς ἰδίας περὶ
shown Miltiades also other to-us of-the own about
τὰ θεῖα λόγια σπουδῆς μνήμας καταλέλοιπεν, ἔν τε
the divine oracles zeal memorials has-left in both
οἷς πρὸς Ἕλληνας συνέταξε λόγοις καὶ τοῖς πρὸς
which to Greeks he-composed treatises and the(-ones) to
Ἰουδαίους, ἑκατέρᾳ ἰδίως ὑποθέσει ἐν δυσὶν ὑπαντήσας
Jews to-each separately subject in two having-met(-them)

συγγράμμασιν. ἔτι δὲ καὶ πρὸς τοὺς κοσμικοὺς ἄρχοντας
writings further and also to the worldly rulers
ὑπὲρ ἧς μετῄει φιλοσοφίας πεποίηται ἀπολογίαν.
on-behalf-of which he-followed philosophy has-made (an)-apology

XXXII · APOLLONIUS, SERAPION, AND IRENAEUS' LETTERS

Apollonius exposes the greed of Montanus and his prophetesses, and shows that the confessor Themiso and the self-styled martyr Alexander were frauds. Serapion of Antioch, in a letter that other bishops sign, sends the letters of Apolinarius against the new prophecy. Irenaeus writes to Blastus and Florinus, charges copyists of his work on the Ogdoad, and reminds Florinus of what both had heard from Polycarp, whose words he still remembers.

18.1 Τῆς δὲ κατὰ Φρύγας καλουμένης αἱρέσεως καὶ
of-the and after (the)-Phrygians called heresy also
Ἀπολλώνιος, ἐκκλησιαστικὸς συγγραφεὺς, ἀκμαζούσης
Apollonius (an)-ecclesiastical writer flourishing
εἰσέτι τότε κατὰ τὴν Φρυγίαν ἔλεγχον ἐνστησάμενος ἴδιον
still then in — Phrygia refutation having-undertaken (a)-special
κατ᾽ αὐτῶν πεποίηται σύγγραμμα, τὰς μὲν φερομένας
against them has-made treatise the indeed current
αὐτῶν προφητείας ψευδεῖς οὔσας κατὰ λέξιν εὐθύνων,
their prophecies false being according-to (the)-letter correcting
τὸν δὲ βίον τῶν τῆς αἱρέσεως ἀρχηγῶν ὁποῖός τις γέγονε
the and life of-the of-the heresy founders of-what-sort some it-has-been
διελέγχων. αὐτοῖς δὲ ῥήμασι περὶ τοῦ Μοντανοῦ ταῦτα
refuting in-very and words about — Montanus these-things
λέγοντος ἄκουε "ἀλλὰ τίς οὗτός ἐστιν ὁ πρόσφατος
saying hear but who this-one is the recent
διδάσκαλος τὰ ἔργα αὐτοῦ καὶ ἡ διδασκαλία δείκνυσιν.
teacher the works his and the teaching shows

οὗτός ἐστιν ὁ διδάξας λύσεις γάμων, ὁ 18.2
this-one is the(-one) having-taught dissolutions of-marriages the(-one)
νηστείας νομοθετήσας, ὁ Πέπουζαν καὶ Τύμιον
fasts having-legislated the(-one) Pepuza and Tymion
Ἰερουσαλὴμ ὀνομάσας (πόλεις δέ εἰσιν αὗται μικραὶ τῆς
Jerusalem having-named cities and are these small —
Φρυγίας), τοὺς πανταχόθεν ἐκεῖ συναγαγεῖν ἐθέλων, ὁ
of-Phrygia the(-men) from-everywhere there to-gather wishing the(-one)
πρακτῆρας χρημάτων καταστήσας, ὁ ἐπ᾽ ὀνόματι
collectors of-money having-appointed the(-one) under name
προσφορῶν τὴν δωροληψίαν ἐπιτεχνώμενος, ὁ σαλάρια
of-offerings the receiving-of-gifts contriving the(-one) salaries
χορηγῶν τοῖς κηρύττουσιν αὐτοῦ τὸν λόγον, ἵνα διὰ
furnishing to-the(-ones) preaching his the word that through
τῆς γαστριμαργίας ἡ διδασκαλία τοῦ λόγου κρατύνηται.”
the gluttony the teaching of-the word may-be-strengthened
καὶ ταῦτα μὲν περὶ τοῦ Μοντανοῦ· καὶ περὶ τῶν 18.3
and these-things indeed about — Montanus and about the
προφητίδων δὲ αὐτοῦ ὑποκαταβὰς οὕτω γράφει “δείκνυμεν
prophetesses and his having-gone-down thus he-writes we-show
οὖν αὐτὰς πρώτας τὰς προφήτιδας ταύτας, ἀφ᾽ οὗ
then them first the prophetesses these from when
τοῦ πνεύματος ἐπληρώθησαν, τοὺς ἄνδρας καταλιπούσας.
with-the spirit they-were-filled the husbands having-left
πῶς οὖν ἐψεύδοντο Πρίσκαν παρθένον ἀποκαλοῦντες;”
how then did-they-lie Prisca (a)-virgin calling
εἶτ᾽ ἐπιφέρει λέγων “δοκεῖ σοι πᾶσα γραφὴ κωλύειν
then he-adds saying seems to-you all scripture to-forbid
προφήτην λαμβάνειν δῶρα καὶ χρήματα;
(a)-prophet to-receive gifts and money

18.4 ὅταν οὖν ἴδω τὴν προφῆτιν εἰληφυῖαν χρυσὸν καὶ ἄργυρον
when then I-see the prophetess having-received gold and silver
καὶ πολυτελεῖς ἐσθῆτας, πῶς αὐτὴν μὴ παραιτήσωμαι;"
and costly garments how her not shall-I-reject

18.5 αὖθις δὲ ὑποκαταβὰς περί τινος τῶν κατ' αὐτοὺς
again and going-down about one of-the among them
ὁμολογητῶν ταῦτά φησιν "ἔτι δὲ καὶ Θεμίσων, ὁ τὴν
confessors these-things he-says further and also Themiso the(-one) the
ἀξιόπιστον πλεονεξίαν ἠμφιεσμένος, ὁ μὴ βαστάσας τῆς
plausible covetousness clothed-in the(-one) not having-borne of-the
ὁμολογίας τὸ σημεῖον, ἀλλὰ πλήθει χρημάτων ἀποθέμενος
confession the sign but by-quantity of-money having-put-off
τὰ δεσμὰ, δέον ἐπὶ τούτῳ ταπεινοφρονεῖν, ὡς
the bonds it-being-fitting at this to-be-humble as
μάρτυς καυχώμενος ἐτόλμησε, μιμούμενος τὸν ἀπόστολον,
(a)-martyr boasting dared imitating the apostle
καθολικήν τινα συνταξάμενος ἐπιστολὴν κατηχεῖν μὲν
catholic some having-composed letter to-instruct indeed
τοὺς ἄμεινον αὐτοῦ πεπιστευκότας, συναγωνίζεσθαι δὲ
the(-ones) better than-he having-believed to-fight-alongside and
τοῖς τῆς κενοφωνίας λόγοις, βλασφημῆσαι δὲ εἰς τὸν
the of-the empty-talk words to-blaspheme and against the
κύριον καὶ τοὺς ἀποστόλους καὶ τὴν ἁγίαν ἐκκλησίαν."
Lord and the apostles and the holy church

18.6 καὶ περὶ ἑτέρων δὲ αὖθις τῶν κατ' αὐτοὺς τετιμημένων
and about others and again of-the among them honored
ὡς δὴ μαρτύρων οὕτω γράφει "ἵνα δὲ μὴ περὶ
as indeed martyrs thus he-writes that and not about
πλειόνων λέγωμεν, ἡ προφῆτις ἡμῖν εἰπάτω τὰ
more we-may-speak the prophetess to-us let-her-tell the(-things)
κατὰ Ἀλέξανδρον τὸν λέγοντα ἑαυτὸν μάρτυρα, ᾧ
about Alexander the(-one) calling himself (a)-martyr with-whom

συνεστιᾶται, ᾧ προσκυνοῦσι καὶ αὐτῷ πολλοί, οὗ τὰς
she-feasts whom worship also him many whose the
λῃστείας καὶ τὰ ἄλλα τολμήματα, ἐφ' οἷς κεκόλασται,
robberies and the other daring(-deeds) for which he-has-been-punished
οὐχ ἡμᾶς δεῖ λέγειν, ἀλλὰ ὁ ὀπισθόδομος ἔχει.
not us it-is-needful to-tell but the treasury holds(-them)
τίς οὖν τίνι χαρίζεται τὰ ἁμαρτήματα; πότερον ὁ 18.7
who then to-whom forgives the sins whether the
προφήτης τὰς λῃστείας τῷ μάρτυρι, ἢ ὁ μάρτυς τῷ
prophet the robberies to-the martyr or the martyr to-the
προφήτῃ τὰς πλεονεξίας; εἰρηκότος γὰρ τοῦ κυρίου 'μὴ
prophet the covetousness having-said for the Lord not
κτήσησθε χρυσὸν μήτε ἄργυρον μήτε δύο χιτῶνας' οὗτοι
get gold nor silver nor two tunics these
πᾶν τοὐναντίον πεπλημμελήκασι περὶ τὰς τούτων τῶν
all the-opposite have-offended about the of-these the
ἀπηγορευμένων κτήσεις. δείξομεν γὰρ τοὺς λεγομένους
forbidden(-things) possessions we-shall-show for the called
παρ' αὐτοῖς προφήτας καὶ μάρτυρας μὴ μόνον παρὰ
among them prophets and martyrs not only from
πλουσίων, ἀλλὰ καὶ παρὰ πτωχῶν καὶ ὀρφανῶν καὶ
rich(-people) but also from poor and orphans and
χηρῶν κερματιζομένους.
widows making-money
καὶ εἰ πεποίθησιν ἔχουσιν, στήτωσαν ἐν τούτῳ, καὶ 18.8
and if confidence they-have let-them-stand in this and
διορισάσθωσαν ἐπὶ τούτοις, ἵνα ἐὰν ἐλεγχθῶσι, κἂν
let-them-define(-it) on these that if they-be-refuted at-least
τοῦ λοιποῦ παύσωνται πλημμελοῦντες· δεῖ γὰρ τοὺς
for-the rest they-may-stop offending it-is-needful for the

καρποὺς δοκιμάζεσθαι τοῦ προφήτου, ἀπὸ γὰρ τοῦ καρποῦ
fruits to-be-tested of-the prophet from for the fruit
τὸ ξύλον γινώσκεται.
the tree is-known

18.9 ἵνα δὲ τοῖς βουλομένοις τὰ κατὰ Ἀλέξανδρον ᾖ
that and to-the(-ones) wishing the(-things) about Alexander may-be
γνώριμα, κέκριται ὑπὸ Αἰμιλίου Φροντίνου ἀνθυπάτου
known he-has-been-judged by Aemilius Frontinus proconsul
ἐν Ἐφέσῳ, οὐ διὰ τὸ ὄνομα, ἀλλὰ δι᾽ ἃς ἐτόλμησε
in Ephesus not because-of the name but because-of which he-dared
λῃστείας, ὧν ἤδη παραβάτης· εἶτα ἐπιψευσάμενος τῷ
robberies being already (a)-transgressor then having-lied-in the
ὀνόματι τοῦ κυρίου ἀπολέλυται, πλανήσας τοὺς ἐκεῖ
name of-the Lord he-has-been-released having-deceived the there
πιστούς· καὶ ἡ ἰδία παροικία αὐτὸν, ὅθεν ἦν, οὐκ ἐδέξατο,
faithful and the own parish him whence he-was not received
διὰ τὸ εἶναι αὐτὸν λῃστήν. καὶ οἱ θέλοντες μαθεῖν
because-of the to-be him (a)-robber and the(-ones) wishing to-learn
τὰ κατ᾽ αὐτὸν ἔχουσι τὸ τῆς Ἀσίας δημόσιον ἀρχεῖον.
the(-things) about him have the — of-Asia public archive

18.10 ὃν ὁ προφήτης συνόντα πολλοῖς ἔτεσιν ἀγνοεῖ,
whom the prophet being-with(-him) for-many years is-ignorant-of
τοῦτον ἐλέγχοντες ἡμεῖς δι᾽ αὐτοῦ καὶ τὴν ὑπόστασιν
this-one refuting we through him also the substance
ἐξελέγχομεν τοῦ προφήτου. τὸ ὅμοιον ἐπὶ πολλῶν δυνάμεθα
we-refute of-the prophet the like in many(-cases) we-are-able
ἀποδεῖξαι, καὶ εἰ θαρροῦσιν, ὑπομεινάτωσαν τὸν ἔλεγχον."
to-show and if they-are-confident let-them-endure the refutation

18.11 πάλιν τε αὖ ἐν ἑτέρῳ τόπῳ τοῦ συγγράμματος περὶ ὧν
again and again in another place of-the treatise about which
αὐχοῦσι προφητῶν ἐπιλέγει ταῦτα "ἐὰν ἀρνῶνται δῶρα
they-boast prophets he-adds these-things if they-deny gifts

τοὺς προφήτας αὐτῶν εἰληφέναι, τοῦτο ὁμολογησάτωσαν,
the prophets their to-have-received this let-them-confess
ὅτι ἐὰν ἐλεγχθῶσιν εἰληφότες, οὐκ εἰσὶ προφῆται, καὶ
that if they-be-convicted having-received not they-are prophets and
μυρίας ἀποδείξεις τούτων παραστήσομεν. ἀναγκαῖον δέ
countless proofs of-these we-will-present necessary and
ἐστι πάντας καρποὺς δοκιμάζεσθαι προφήτου. προφήτης,
it-is all (the)-fruits to-be-tested of-(a)-prophet (a)-prophet
εἰπέ μοι, βάπτεται; προφήτης στιβίζεται; προφήτης
tell me dyes(-his-hair) (a)-prophet paints-(his)-eyes (a)-prophet
φιλοκοσμεῖ; προφήτης τάβλαις καὶ κύβοις παίζει;
loves-adornment (a)-prophet at-gaming-tables and dice plays
προφήτης δανείζει; ταῦτα ὁμολογησάτωσαν πότερον
(a)-prophet lends-at-interest these-things let-them-confess whether
ἔξεστιν ἢ μὴ, ἐγὼ δὲ ὅτι γέγονε παρ᾽ αὐτοῖς δείξω.”
it-is-lawful or not I and that it-has-happened among them will-show
ὁ δ᾽ αὐτὸς οὗτος Ἀπολλώνιος κατὰ τὸ αὐτὸ σύγγραμμα 18.12
the and same this-one Apollonius in the same treatise
ἱστορεῖ ὡς ἄρα τεσσαρακοστὸν ἐτύγχανεν ἔτος ἐπὶ
records that after-all (the)-fortieth it-was year at
τὴν τοῦ συγγράμματος αὐτοῦ γραφὴν, ἐξ οὗ τῇ
the of-the treatise his writing since which with-the
προσποιήτῳ αὐτοῦ προφητείᾳ ὁ Μοντανὸς ἐπικεχείρηκε.
pretended his prophecy — Montanus has-made-his-attempt
καὶ πάλιν φησὶν ὡς ἄρα Ζωτικὸς, οὗ καὶ ὁ πρότερος 18.13
and again he-says that after-all Zoticus whom also the former
συγγραφεὺς ἐμνημόνευσεν, ἐν Πεπούζοις προφητεύειν δὴ
writer mentioned in Pepuza to-prophesy indeed
προσποιουμένης τῆς Μαξιμίλλης ἐπιστὰς διελέγξαι τὸ
pretending — Maximilla having-come to-refute the
ἐνεργοῦν ἐν αὐτῇ πνεῦμα πεπείραται, ἐκωλύθη γε μὴν
working in her spirit has-tried was-prevented at-least indeed

πρὸς τῶν τὰ ἐκείνης φρονούντων. καὶ Θρασέα δέ
by the(-men) the(-things) her favoring and of-Thraseas too
τινος τῶν τότε μαρτύρων μνημονεύει.
(a)-certain of-the then martyrs he-makes-mention

18.14 ἔτι δὲ ὡς ἐκ παραδόσεως τὸν σωτῆρά φησι προστεταχέναι
further and as from tradition the savior he-says to-have-commanded
τοῖς αὐτοῦ ἀποστόλοις, ἐπὶ δώδεκα ἔτεσι μὴ χωρισθῆναι
to-the his apostles for twelve years not to-be-separated
τῆς Ἱερουσαλήμ. κέχρηται δὲ καὶ μαρτυρίαις ἀπὸ τῆς
— from-Jerusalem he-has-used and also testimonies from the
Ἰωάννου ἀποκαλύψεως, καὶ νεκρὸν δὲ δυνάμει θείᾳ πρὸς
of-John Revelation and (a)-dead(-man) too by-power divine by
αὐτοῦ Ἰωάννου ἐν τῇ Ἐφέσῳ ἐγηγέρθαι ἱστορεῖ. καὶ ἄλλα
very John in — Ephesus to-have-been-raised he-records and other
τινά φησι, δι' ὧν ἱκανῶς τῆς προειρημένης αἱρέσεως
some(-things) he-says through which sufficiently of-the aforesaid heresy
πληρέστατα διηύθυνε τὴν πλάνην. ταῦτα καὶ ὁ Ἀπολλώνιος.
most-fully he-corrected the error these-things also — Apollonius

19.1 Τῶν δὲ Ἀπολιναρίου κατὰ τῆς δηλωθείσης αἱρέσεως
of-the(-writings) and of-Apolinarius against the shown heresy
μνήμην πεποίηται Σαραπίων, ὃν ἐπὶ τῶν δηλουμένων
mention has-made Serapion whom in the shown
χρόνων μετὰ Μαξιμῖνον ἐπίσκοπον τῆς Ἀντιοχέων
times after Maximinus bishop of-the of-Antiochenes
ἐκκλησίας γενέσθαι κατέχει λόγος. μέμνηται δὲ αὐτοῦ ἐν
church to-have-been holds (the)-account he-mentions and him in
ἰδίᾳ ἐπιστολῇ τῇ πρὸς Καρικὸν καὶ Πόντιον, ἐν ᾗ
(his)-own letter the(-one) to Caricus and Pontius in which
διευθύνων καὶ αὐτὸς τὴν αὐτὴν αἵρεσιν ἐπιλέγει ταῦτα
correcting also himself the same heresy he-adds these-things

"ὅπως δὲ καὶ τοῦτο ἴδητε, ὅτι τῆς ψευδοῦς ταύτης 19.2
that and also this you-may-see that of-the false this
τάξεως τῆς ἐπικαλουμένης νέας προφητείας ἐβδέλυκται ἡ
order of-the called new prophecy is-abominated the
ἐνέργεια παρὰ πάσῃ τῇ ἐν κόσμῳ ἀδελφότητι, πέπομφα
working by all the in (the)-world brotherhood I-have-sent
ὑμῖν καὶ Κλαυδίου Ἀπολιναρίου τοῦ μακαριωτάτου
to-you also of-Claudius Apolinarius the most-blessed
γενομένου ἐν Ἱεραπόλει τῆς Ἀσίας ἐπισκόπου γράμματα."
having-been in Hierapolis — of-Asia bishop letters
ἐν ταύτῃ δὲ τῇ τοῦ Σαραπίωνος ἐπιστολῇ καὶ ὑποσημειώσεις 19.3
in this and the — of-Serapion letter also subscriptions
φέρονται διαφόρων ἐπισκόπων, ὧν ὁ μέν τις ὧδέ πως
are-current of-various bishops of-whom the indeed one thus somehow
ὑποσεσημείωται "Αὐρήλιος Κυρήνιος μάρτυς ἐρρῶσθαι
has-subscribed Aurelius Cyrenius (a)-martyr to-be-well
ὑμᾶς εὔχομαι", ὁ δέ τις τοῦτον τὸν τρόπον "Αἴλιος
you I-pray the and other in-this the manner Aelius
Πούπλιος Ἰούλιος ἀπὸ Δεβελτοῦ κολωνίας τῆς Θρᾴκης
Publius Julius from Debeltum (a)-colony — of-Thrace
ἐπίσκοπος· ζῇ ὁ θεὸς ὁ ἐν τοῖς οὐρανοῖς, ὅτι Σωτᾶς
bishop lives — God the(-one) in the heavens that Sotas
ὁ μακάριος ὁ ἐν Ἀγχιάλῳ ἠθέλησε τὸν δαίμονα τὸν
the blessed the(-one) in Anchialus wished the demon the
Πρισκίλλης ἐκβαλεῖν, καὶ οἱ ὑποκριταὶ οὐκ ἀφῆκαν."
of-Priscilla to-cast-out and the hypocrites not permitted(-him)
καὶ ἄλλων δὲ πλειόνων τὸν ἀριθμὸν ἐπισκόπων συμψήφων 19.4
and of-others too more the number bishops agreeing
τούτοις ἐν τοῖς δηλωθεῖσι γράμμασιν αὐτόγραφοι φέρονται
with-these in the shown letters autograph are-current
σημειώσεις. καὶ τὰ μὲν κατὰ τούτους ἦν τοιαῦτα.
signatures and the(-things) indeed concerning these were such

20.1 Ἐξ ἐναντίας δὲ τῶν ἐπὶ Ῥώμης τὸν ὑγιῆ τῆς ἐκκλησίας
from (the)-opposite and of-the(-men) in Rome the sound of-the church
θεσμὸν παραχαραττόντων, Εἰρηναῖος διαφόρους ἐπιστολὰς
ordinance falsifying Irenaeus various letters
συντάττει, τὴν μὲν ἐπιγράψας πρὸς Βλάστον περὶ σχίσματος,
composes the one entitling to Blastus On Schism
τὴν δὲ πρὸς Φλωρῖνον περὶ μοναρχίας ἢ περὶ τοῦ μὴ εἶναι
the other to Florinus On Monarchy or On the not to-be
τὸν θεὸν ποιητὴν κακῶν. ταύτης γάρ τοι τῆς γνώμης οὗτος
— God maker of-evils this for surely the opinion this-one
ἐδόκει προασπίζειν· δι' ὃν αὖθις ὑποσυρόμενον τῇ
seemed to-defend because-of whom again being-drawn-under to-the
κατὰ Οὐαλεντῖνον πλάνῃ καὶ τὸ περὶ ὀγδοάδος συντάττεται
of Valentinus error also the On (the)-Ogdoad is-composed
τῷ Εἰρηναίῳ σπούδασμα, ἐν ᾧ καὶ ἐπισημαίνεται τὴν
— by-Irenaeus study in which also he-indicates the
πρώτην τῶν ἀποστόλων κατειληφέναι ἑαυτὸν διαδοχήν.
first of-the apostles to-have-reached himself succession

20.2 ἔνθα πρὸς τῷ τοῦ συγγράμματος τέλει χαριεστάτην αὐτοῦ
where at the of-the treatise end most-graceful his
σημείωσιν εὑρόντες ἀναγκαίως καὶ ταύτην τῇδε καταλέξομεν
note having-found necessarily also this in-this we-shall-list
τῇ γραφῇ, τοῦτον ἔχουσαν τὸν τρόπον "ὁρκίζω σε τὸν
the writing this having the manner I-adjure you the(-one)
μεταγραψόμενον τὸ βιβλίον τοῦτο κατὰ τοῦ κυρίου ἡμῶν
about-to-copy the book this by the Lord our
Ἰησοῦ Χριστοῦ καὶ κατὰ τῆς ἐνδόξου παρουσίας αὐτοῦ,
Jesus Christ and by the glorious coming his
ἧς ἔρχεται κρῖναι ζῶντας καὶ νεκρούς, ἵνα ἀντιβάλῃς
in-which he-comes to-judge living and dead that you-compare
ὃ μετεγράψω, καὶ κατορθώσῃς αὐτὸ πρὸς τὸ ἀντίγραφον
what you-have-copied and you-correct it against the copy

τοῦτο, ὅθεν μετεγράψω, ἐπιμελῶς· καὶ τὸν ὅρκον τοῦτον
this from-which you-have-copied carefully and the oath this
ὁμοίως μεταγράψεις καὶ θήσεις ἐν τῷ ἀντιγράφῳ."
likewise you-will-copy and you-will-place in the copy
καὶ ταῦτα δὲ ὠφελίμως ὑπ' ἐκείνου λελέχθω, πρὸς ἡμῶν 20.3
and these-things too usefully by that(-man) let-be-said by us
τε ἱστορείσθω, ὡς ἂν ἔχοιμεν ἄριστον σπουδαιοτάτης
and let-be-recorded so-that — we-may-have best of-most-earnest
ἐπιμελείας τοὺς ἀρχαίους ἐκείνους καὶ ὄντως ἱεροὺς
care the ancient those and truly holy
ἄνδρας ὑπόδειγμα.
men (as)-example
ἐν ᾗ γε μὴν προειρήκαμεν πρὸς τὸν Φλωρῖνον ὁ 20.4
in which at-least indeed we-have-said-before to — Florinus —
Εἰρηναῖος ἐπιστολῇ αὖθις τῆς ἅμα Πολυκάρπῳ συνουσίας
Irenaeus letter again of-the with Polycarp association
αὐτοῦ μνημονεύει λέγων "ταῦτα τὰ δόγματα, Φλωρῖνε,
his he-mentions saying these the doctrines Florinus
ἵνα πεφεισμένως εἴπω, οὐκ ἔστιν ὑγιοῦς γνώμης·
that sparingly I-may-speak not are of-sound mind
ταῦτα τὰ δόγματα ἀσύμφωνά ἐστι τῇ ἐκκλησίᾳ, εἰς
these the doctrines discordant are with-the church into
τὴν μεγίστην ἀσέβειαν περιβάλλοντα τοὺς πειθομένους
the greatest impiety plunging the(-ones) obeying
αὐτοῖς· ταῦτα τὰ δόγματα οὐδὲ οἱ ἔξω τῆς ἐκκλησίας
them these the doctrines not-even the outside the church
αἱρετικοὶ ἐτόλμησαν ἀποφήνασθαί ποτε· ταῦτα τὰ δόγματα
heretics dared to-declare ever these the doctrines
οἱ πρὸ ἡμῶν πρεσβύτεροι οἱ καὶ τοῖς ἀποστόλοις
the before us elders who also with-the apostles
συμφοιτήσαντες οὐ παρέδωκάν σοι.
having-studied not handed-down to-you

20.5 εἶδον γάρ σε παῖς ἔτι ὢν ἐν τῇ κάτω Ἀσίᾳ παρὰ
I-saw for you (a)-boy still being in the lower Asia with
Πολυκάρπῳ, λαμπρῶς πράσσοντα ἐν τῇ βασιλικῇ αὐλῇ,
Polycarp splendidly faring in the royal court
καὶ πειρώμενον εὐδοκιμεῖν παρ᾽ αὐτῷ. μᾶλλον γὰρ τὰ
and trying to-be-in-favor with him rather for the(-things)
τότε διαμνημονεύω τῶν ἔναγχος γινομένων.
then I-remember than-the(-things) recently happening

20.6 αἱ γὰρ ἐκ παίδων μαθήσεις συναύξουσαι τῇ ψυχῇ
the for from childhood learnings growing-with the soul
ἑνοῦνται αὐτῇ, ὥστε με δύνασθαι εἰπεῖν καὶ τὸν τόπον
are-united with-it so-that me to-be-able to-tell even the place
ἐν ᾧ καθεζόμενος διελέγετο ὁ μακάριος Πολύκαρπος,
in which sitting discoursed the blessed Polycarp
καὶ τὰς προόδους αὐτοῦ καὶ τὰς εἰσόδους, καὶ τὸν
and the goings-out his and the comings-in and the
χαρακτῆρα τοῦ βίου, καὶ τὴν τοῦ σώματος ἰδέαν, καὶ
character of-the life and the of-the body appearance and
τὰς διαλέξεις ἃς ἐποιεῖτο πρὸς τὸ πλῆθος, καὶ τὴν
the discourses which he-made to the multitude and the
μετὰ Ἰωάννου συναναστροφὴν ὡς ἀπήγγελλε καὶ τὴν
with John converse as he-reported and the(-converse)
μετὰ τῶν λοιπῶν τῶν ἑωρακότων τὸν κύριον, καὶ
with the rest of-the(-ones) having-seen the Lord and
ὡς ἀπεμνημόνευε τοὺς λόγους αὐτῶν, καὶ περὶ τοῦ
how he-remembered the words their and about the
κυρίου τίνα ἦν ἃ παρ᾽ ἐκείνων ἀκηκόει, καὶ περὶ τῶν
Lord what were which from those he-had-heard and about the
δυνάμεων αὐτοῦ, καὶ περὶ τῆς διδασκαλίας, ὡς παρὰ
powers his and about the teaching as from

τῶν αὐτοπτῶν τῆς ζωῆς τοῦ λόγου παρειληφὼς ὁ
the eyewitnesses of-the life of-the word having-received —
Πολύκαρπος ἀπήγγελλε πάντα σύμφωνα ταῖς γραφαῖς.
Polycarp reported all-things consonant with-the scriptures
ταῦτα καὶ τότε διὰ τὸ ἔλεος τοῦ θεοῦ τὸ ἐπ' 20.7
these-things also then through the mercy — of-God the(-mercy) upon
ἐμοὶ γεγονὸς σπουδαίως ἤκουον, ὑπομνηματιζόμενος αὐτὰ
me having-been earnestly I-heard noting them
οὐκ ἐν χάρτῃ, ἀλλ' ἐν τῇ ἐμῇ καρδίᾳ, καὶ ἀεὶ διὰ
not on paper but in the my heart and always through
τὴν χάριν τοῦ θεοῦ γνησίως αὐτὰ ἀναμαρυκῶμαι· καὶ
the grace — of-God genuinely them I-chew-over and
δύναμαι διαμαρτύρασθαι ἔμπροσθεν τοῦ θεοῦ, ὅτι εἴ τι
I-am-able to-testify before — God that if any
τοιοῦτον ἀκηκόει ἐκεῖνος ὁ μακάριος καὶ ἀποστολικὸς
such(-thing) had-heard that the blessed and apostolic
πρεσβύτερος, ἀνακράξας ἂν καὶ ἐμφράξας τὰ ὦτα αὐτοῦ,
elder having-cried-out — and having-stopped the ears his
καὶ τὸ σύνηθες αὐτῷ εἰπών 'ὦ καλὲ θεὲ, εἰς οἵους
and the(-thing) customary to-him having-said O good God for what-sort
με καιροὺς τετήρηκας, ἵνα τούτων ἀνέχωμαι' πεφεύγει
me times have-you-kept that these I-should-endure he-would-have-fled
ἂν καὶ τὸν τόπον ἐν ᾧ καθεζόμενος ἢ ἑστὼς τῶν
— even the place in which sitting or standing of-the
τοιούτων ἀκηκόει λόγων.
such he-had-heard words
καὶ ἐκ τῶν ἐπιστολῶν δὲ αὐτοῦ ὧν ἐπέστειλεν ἤτοι 20.8
and from the letters and his which he-sent whether
ταῖς γειτνιώσαις ἐκκλησίαις ἐπιστηρίζων αὐτὰς, ἢ τῶν
to-the neighboring churches strengthening them or of-the

ἀδελφῶν τισὶ νουθετῶν αὐτοὺς καὶ προτρεπόμενος,
brothers to-some admonishing them and exhorting
δύναται φανερωθῆναι." ταῦτα ὁ Εἰρηναῖος.
it-can be-made-manifest these-things — Irenaeus

XXXIII · APOLLONIUS THE MARTYR AND THE EASTER CONTROVERSY

Under Commodus the church is at peace, but Apollonius is denounced, defends the faith before the senate, and is executed. A dispute arises over Easter: the churches of Asia end their fast on the fourteenth of the moon, while synods elsewhere decree the Lord's day. Polycrates of Ephesus defends the Asian custom by the apostles and martyrs buried in Asia. Victor of Rome tries to excommunicate Asia; Irenaeus rebukes him and recalls that Anicetus and Polycarp kept the peace despite their difference.

21.1 Κατὰ δὲ τὸν αὐτὸν τῆς Κομόδου βασιλείας χρόνον
during and the same of-the of-Commodus reign time
μεταβέβλητο μὲν ἐπὶ τὸ πρᾶον τὰ καθ' ἡμᾶς, εἰρήνης
had-been-changed indeed to the mild the(-things) concerning us peace
σὺν θείᾳ χάριτι τὰς καθ' ὅλης τῆς οἰκουμένης διαλαβούσης
with divine grace the throughout whole the inhabited-world having-taken-hold-of
ἐκκλησίας, ὅτε καὶ ὁ σωτήριος λόγος ἐκ παντὸς γένους
churches when also the saving word from every race
ἀνθρώπων πᾶσαν ὑπήγετο ψυχὴν ἐπὶ τὴν εὐσεβῆ τοῦ τῶν
of-men every was-leading soul to the pious of-the of-the
ὅλων θεοῦ θρησκείαν, ὥστε ἤδη καὶ τῶν ἐπὶ Ῥώμης
universe God worship so-that already also of-the(-men) in Rome
εὖ μάλα πλούτῳ καὶ γένει διαφανῶν πλείους ἐπὶ τὴν σφῶν
well very in-wealth and family illustrious more to the their-own
ὁμόσε χωρεῖν πανοικί τε καὶ παγγενῇ σωτηρίαν.
together to-come with-whole-household both and with-whole-family salvation

οὐκ ἦν δὲ ἄρα τοῦτο τῷ μισοκάλῳ δαίμονι βασκάνῳ 21.2
not was and after-all this for-the virtue-hating demon envious
ὄντι τὴν φύσιν οἰστόν· ἀπεδύετο δ᾽ οὖν αὖθις,
being the nature bearable he-stripped(-for-the-fight) and then again
ποικίλας τὰς καθ᾽ ἡμῶν μηχανὰς ἐπιτεχνώμενος. ἐπὶ
various the against us devices contriving in
γοῦν τῆς Ῥωμαίων πόλεως Ἀπολλώνιον, ἄνδρα τῶν
at-any-rate the of-Romans city Apollonius (a)-man of-the
τότε πιστῶν ἐπὶ παιδείᾳ καὶ φιλοσοφίᾳ βεβοημένον, ἐπὶ
then faithful for learning and philosophy celebrated to
δικαστήριον ἄγει, ἕνα γέ τινα τῶν εἰς ταῦτα ἐπιτηδείων
court he-brings one at-least some of-the for this suitable
αὐτῷ διακόνων ἐπὶ κατηγορίᾳ τἀνδρὸς ἐγείρας.
to-him ministers for accusation of-the-man having-raised-up
ἀλλ᾽ ὁ μὲν δείλαιος παρὰ καιρὸν τὴν δίκην εἰσελθὼν, 21.3
but the indeed wretch out-of season the suit having-entered
ὅτι μὴ ζῆν ἐξὸν ἦν κατὰ βασιλικὸν ὅρον τοὺς τῶν
since not to-live lawful was according-to imperial decree the of-the
τοιῶνδε μηνυτὰς, αὐτίκα κατάγνυται τὰ σκέλη, Περεννίου
such informers straightway is-broken the legs Perennius
δικαστοῦ τοιαύτην κατ᾽ αὐτοῦ ψῆφον ἀπενέγκαντος.
(the)-judge such against him sentence having-pronounced
ὁ δέ γε θεοφιλέστατος μάρτυς, πολλὰ λιπαρῶς 21.4
the and at-least most-God-loved martyr much earnestly
ἱκετεύσαντος τοῦ δικαστοῦ καὶ λόγον αὐτὸν ἐπὶ τῆς
having-entreated the judge and (an)-account him before the
συγκλήτου βουλῆς αἰτήσαντος, λογιωτάτην ὑπὲρ ἧς
senate council having-asked most-eloquent for which
ἐμαρτύρει πίστεως ἐπὶ πάντων παρασχὼν ἀπολογίαν
he-bore-witness faith before all having-furnished defense
κεφαλικῇ κολάσει ὡσὰν ἀπὸ δόγματος συγκλήτου
by-capital punishment as from (a)-decree of-(the)-senate

τελειοῦται, μηδ' ἄλλως ἀφεῖσθαι τοὺς ἅπαξ εἰς
is-perfected not otherwise to-be-released the(-ones) once into
δικαστήριον παριόντας καὶ μηδαμῶς τῆς προθέσεως
court coming and in-no-way from-the purpose
μεταβαλλομένους ἀρχαίου παρ' αὐτοῖς νόμου κεκρατηκότος.
changing (an)-ancient among them law having-prevailed

21.5 τούτου μὲν οὖν τὰς ἐπὶ τοῦ δικαστοῦ φωνὰς καὶ τὰς
of-this indeed then the before the judge words and the
ἀποκρίσεις, ἃς πρὸς πεῦσιν πεποίητο τοῦ Περεννίου,
answers which to (the)-inquiry he-had-made — of-Perennius
πᾶσάν τε τὴν πρὸς τὴν σύγκλητον ἀπολογίαν ὅτῳ
all and the to the senate defense to-whomever
διαγνῶναι φίλον, ἐκ τῆς τῶν ἀρχαίων μαρτυρίων
to-learn (it-is)-dear from the of-the ancient martyrdoms
συναχθείσης ἡμῖν ἀναγραφῆς εἴσεται.
collected by-us record will-know

22.1 Δεκάτῳ γε μὴν τῆς Κομόδου βασιλείας ἔτει δέκα πρὸς
in-(the)-tenth at-least indeed of-the of-Commodus reign year ten besides
τρισὶν ἔτεσι τὴν ἐπισκοπὴν λελειτουργηκότα Ἐλεύθερον
three years the episcopate having-ministered Eleutherus
διαδέχεται Βίκτωρ· ἐν ᾧ καὶ Ἰουλιανοῦ δέκατον ἔτος
succeeds Victor in which also Julian (the)-tenth year
ἀναπλήσαντος τῶν κατ' Ἀλεξάνδρειαν παροικιῶν τὴν
having-completed of-the at Alexandria parishes the
λειτουργίαν ἐγχειρίζεται Δημήτριος· καθ' οὓς καὶ τῆς
ministry is-entrusted-with Demetrius during whom also of-the
Ἀντιοχέων ἐκκλησίας ὄγδοος ἀπὸ τῶν ἀποστόλων ὁ
of-Antiochenes church eighth from the apostles —
πρόσθεν ἤδη δεδηλωμένος ἔτι τότε Σαραπίων ἐπίσκοπος
before already shown still then Serapion bishop
ἐγνωρίζετο· Καισαρείας δὲ τῆς ἐπὶ Παλαιστίνῃ καθηγεῖτο
was-known of-Caesarea and the(-one) in Palestine presided

Θεόφιλος. καὶ Νάρκισσος δὲ ὁμοίως, οὗ καὶ πρόσθεν ὁ
Theophilus and Narcissus too likewise of-whom also before the
λόγος μνήμην ἐποιήσατο, τῆς ἐν Ἱεροσολύμοις ἐκκλησίας ἔτι
account mention made of-the in Jerusalem church still
τότε τὴν λειτουργίαν εἶχεν. Κορίνθου δὲ τῆς καθ' Ἑλλάδα
then the ministry held of-Corinth and the(-one) in Greece
κατὰ τοὺς αὐτοὺς χρόνους ἐπίσκοπος ἦν Βάκχυλλος, καὶ
at the same times bishop was Bacchyllus and
τῆς ἐν Ἐφέσῳ παροικίας Πολυκράτης, καὶ ἄλλοι δὲ, ὥς
of-the in Ephesus parish Polycrates and others too as
γε εἰκὸς, ἐπὶ τούτοις μυρίοι κατὰ τούσδε διέπρεπον.
at-least (is)-likely besides these countless at these(-times) were-eminent
ὧν γε μὴν ἔγγραφος ἡ τῆς πίστεως εἰς ἡμᾶς
of-whom at-least indeed in-writing the of-the faith to us
κατῆλθεν ὀρθοδοξία, τούτους εἰκότως ὀνομαστὶ κατελέξαμεν.
came-down orthodoxy these fittingly by-name we-have-listed
Ζητήσεως δῆτα κατὰ τούσδε οὐ σμικρᾶς ἀνακινηθείσης, 23.1
(a)-question indeed at these(-times) not small having-been-stirred-up
ὅτι δὴ τῆς Ἀσίας ἁπάσης αἱ παροικίαι ὡσὰν ἐκ
since indeed — of-Asia whole the parishes as from
παραδόσεως ἀρχαιοτέρας σελήνης τὴν τεσσαρεσκαιδεκάτην
tradition more-ancient of-(the)-moon the fourteenth
ᾤοντο δεῖν ἐπὶ τῆς τοῦ πάσχα σωτηρίου ἑορτῆς
thought to-be-needful on the of-the Passover saving feast
παραφυλάττειν, ἐν ᾗ θύειν τὸ πρόβατον Ἰουδαίοις
to-observe on which to-sacrifice the lamb to-Jews
προηγόρευτο, ὡς δέον ἐκ παντὸς κατὰ ταύτην,
it-had-been-enjoined as it-being-needful by all(-means) on this
ὁποίᾳ δ' ἂν ἡμέρᾳ τῆς ἑβδομάδος περιτυγχάνοι, τὰς
on-whatever and — day of-the week it-might-fall the
τῶν ἀσιτιῶν ἐπιλύσεις ποιεῖσθαι, οὐκ ἔθους ὄντος τοῦτον
of-the fasts endings to-make not custom being this

ἐπιτελεῖν τὸν τρόπον ταῖς ἀνὰ τὴν λοιπὴν ἅπασαν
to-perform the manner for-the throughout the rest whole
οἰκουμένην ἐκκλησίαις, ἐξ ἀποστολικῆς παραδόσεως τὸ
inhabited-world churches from apostolic tradition the
καὶ εἰς δεῦρο κρατῆσαν ἔθος φυλαττούσαις, ὡς μηδ'
also to now having-prevailed custom observing so-that not
ἑτέρᾳ προσήκειν παρὰ τὴν τῆς ἀναστάσεως τοῦ σωτῆρος
on-another (it)-to-befit than the of-the resurrection of-the savior
ἡμῶν ἡμέρᾳ τὰς νηστείας ἐπιλύεσθαι.
our day the fasts to-end

23.2 σύνοδοι δὴ καὶ συγκροτήσεις ἐπισκόπων ἐπὶ ταὐτὸν
synods indeed and assemblies of-bishops on the-same(-matter)
ἐγίνοντο, πάντες τε μιᾷ γνώμῃ δι' ἐπιστολῶν
were-held all and with-one mind through letters
ἐκκλησιαστικὸν δόγμα τοῖς πανταχόσε διετυποῦντο,
(an)-ecclesiastical decree for-the(-ones) everywhere formulated
ὡς ἂν μηδ' ἐν ἄλλῃ ποτὲ τῆς κυριακῆς ἡμέρᾳ τὸ
that — not-even on another ever than-the Lord's day the
τῆς ἐκ νεκρῶν ἀναστάσεως ἐπιτελοῖτο τοῦ κυρίου
of-the from (the)-dead resurrection should-be-performed of-the Lord
μυστήριον, καὶ ὅπως ἐν ταύτῃ μόνῃ τῶν κατὰ τὸ πάσχα
mystery and that on this alone of-the at the Passover
νηστειῶν φυλαττοίμεθα τὰς ἐπιλύσεις.
fasts we-should-observe the endings

23.3 φέρεται δ' εἰσέτι νῦν τῶν κατὰ Παλαιστίνην τηνικάδε
is-current and still now of-the(-ones) in Palestine at-that-time
συγκεκροτημένων γραφὴ, ὧν προυτέτακτο Θεόφιλος τῆς
assembled (a)-writing of-whom presided Theophilus of-the
ἐν Καισαρείᾳ παροικίας ἐπίσκοπος καὶ Νάρκισσος τῆς
in Caesarea parish bishop and Narcissus of-the(-one)
ἐν Ἱεροσολύμοις· καὶ τῶν ἐπὶ Ῥώμης δὲ ὁμοίως ἄλλη
in Jerusalem and of-the(-ones) in Rome and likewise another

περὶ τοῦ αὐτοῦ ζητήματος, ἐπίσκοπον Βίκτορα δηλοῦσα·
about the same question bishop Victor showing
τῶν τε κατὰ Πόντον ἐπισκόπων, ὧν Πάλμας ὡς
of-the and in Pontus bishops of-whom Palmas as
ἀρχαιότατος προυτέτακτο, καὶ τῶν κατὰ Γαλλίαν δὲ
oldest presided and of-the in Gaul and
παροικιῶν, ἃς Εἰρηναῖος ἐπεσκόπει·
parishes which Irenaeus oversaw
ἔτι τε τῶν κατὰ τὴν Ὀσροηνὴν καὶ τὰς ἐκεῖσε πόλεις· 23.4
further and of-the(-ones) in — Osrhoene and the there cities
καὶ ἰδίως Βακχύλλου τῆς Κορινθίων ἐκκλησίας ἐπισκόπου,
and particularly of-Bacchyllus of-the of-Corinthians church bishop
καὶ πλείστων ὅσων ἄλλων, οἳ μίαν καὶ τὴν αὐτὴν δόξαν
and very-many as-many others who one and the same opinion
τε καὶ κρίσιν ἐξενηνεγμένοι τὴν αὐτὴν τέθεινται ψῆφον.
both and judgment having-brought-forth the same have-cast vote
καὶ τούτων μὲν ἦν ὅρος εἷς, ὁ δεδηλωμένος·
and of-these indeed was (the)-definition one the shown
τῶν δὲ ἐπὶ τῆς Ἀσίας ἐπισκόπων, τὸ πάλαι πρότερον αὐτοῖς 24.1
of-the and in — Asia bishops the of-old before to-them
παραδοθὲν διαφυλάττειν ἔθος χρῆναι διισχυριζομένων,
handed-down to-preserve custom (it)-to-be-needful maintaining
ἡγεῖτο Πολυκράτης, ὃς καὶ αὐτὸς ἐν ᾗ πρὸς Βίκτορα
led Polycrates who also himself in which to Victor
καὶ τὴν Ῥωμαίων ἐκκλησίαν διετυπώσατο γραφῇ τὴν
and the of-Romans church he-composed writing the
εἰς αὐτὸν ἐλθοῦσαν παράδοσιν ἐκτέθειται διὰ τούτων
to him having-come tradition has-set-forth through these(-words)
“ἡμεῖς οὖν ἀρραδιούργητον ἄγομεν τὴν ἡμέραν, μήτε
we then unfalsified keep the day neither
προστιθέντες μήτε ἀφαιρούμενοι.
adding nor taking-away

24.2 καὶ γὰρ κατὰ τὴν Ἀσίαν μεγάλα στοιχεῖα κεκοίμηται, ἅτινα
and for in — Asia great luminaries have-fallen-asleep which
ἀναστήσεται τῇ ἡμέρᾳ τῆς παρουσίας τοῦ κυρίου, ἐν ᾗ
shall-rise on-the day of-the coming of-the Lord in which
ἔρχεται μετὰ δόξης ἐξ οὐρανῶν, καὶ ἀναστήσει πάντας
he-comes with glory from heavens and shall-raise all
τοὺς ἁγίους, Φίλιππον τὸν τῶν δώδεκα ἀποστόλων,
the saints Philip the(-one) of-the twelve apostles
ὃς κεκοίμηται ἐν Ἱεραπόλει, καὶ δύο θυγατέρες αὐτοῦ
who has-fallen-asleep in Hierapolis and two daughters his
γεγηρακυῖαι παρθένοι, καὶ ἡ ἑτέρα αὐτοῦ θυγάτηρ ἐν
having-grown-old virgins and the other his daughter in
ἁγίῳ πνεύματι πολιτευσαμένη, ἣ ἐν Ἐφέσῳ ἀναπαύεται·
holy spirit having-lived who in Ephesus rests

24.3 ἔτι δὲ καὶ Ἰωάννης ὁ ἐπὶ τὸ στῆθος τοῦ κυρίου
further and also John the(-one) on the breast of-the Lord
ἀναπεσών, ὃς ἐγενήθη ἱερεὺς τὸ πέταλον πεφορηκώς, καὶ
having-reclined who became priest the plate having-worn and
μάρτυς καὶ διδάσκαλος· οὗτος ἐν Ἐφέσῳ κεκοίμηται·
martyr and teacher this-one in Ephesus has-fallen-asleep

24.4 ἔτι δὲ καὶ Πολύκαρπος ὁ ἐν Σμύρνῃ καὶ ἐπίσκοπος
further and also Polycarp the(-one) in Smyrna both bishop
καὶ μάρτυς, καὶ Θρασέας ἐπίσκοπος καὶ μάρτυς ἀπὸ
and martyr and Thraseas bishop and martyr from
Εὐμενείας, ὃς ἐν Σμύρνῃ κεκοίμηται.
Eumenia who in Smyrna has-fallen-asleep

24.5 τί δὲ δεῖ λέγειν Σάγαριν ἐπίσκοπον καὶ μάρτυρα, ὃς ἐν
why and one-must to-mention Sagaris bishop and martyr who in
Λαοδικείᾳ κεκοίμηται, ἔτι δὲ καὶ Παπίριον τὸν μακάριον,
Laodicea has-fallen-asleep further and also Papirius the blessed
καὶ Μελίτωνα τὸν εὐνοῦχον, τὸν ἐν ἁγίῳ πνεύματι πάντα
and Melito the eunuch the(-one) in holy spirit in-all-things

πολιτευσάμενον, ὃς κεῖται ἐν Σάρδεσι περιμένων τὴν ἀπὸ
having-lived who lies in Sardis awaiting the from
τῶν οὐρανῶν ἐπισκοπὴν, ἐν ᾗ ἐκ νεκρῶν ἀναστήσεται.
the heavens visitation in which from (the)-dead he-shall-rise
οὗτοι πάντες ἐτήρησαν τὴν ἡμέραν τῆς τεσσαρεσκαιδεκάτης 24.6
these all kept the day of-the fourteenth
τοῦ πάσχα κατὰ τὸ εὐαγγέλιον, μηδὲν παρεκβαίνοντες,
of-the Passover according-to the gospel in-nothing deviating
ἀλλὰ κατὰ τὸν κανόνα τῆς πίστεως ἀκολουθοῦντες· ἔτι
but according-to the rule of-the faith following further
δὲ κἀγὼ ὁ μικρότερος πάντων ὑμῶν Πολυκράτης, κατὰ
and I-too the lesser of-all of-you Polycrates according-to
παράδοσιν τῶν συγγενῶν μου, οἷς καὶ παρηκολούθησά
(the)-tradition of-the kinsmen my whom also I-followed
τισιν αὐτῶν. ἑπτὰ μὲν ἦσαν συγγενεῖς μου ἐπίσκοποι,
some of-them seven indeed were kinsmen my bishops
ἐγὼ δὲ ὄγδοος· καὶ πάντοτε τὴν ἡμέραν ἤγαγον οἱ
I and (the)-eighth and always the day kept the
συγγενεῖς μου, ὅτε ὁ λαὸς ἤρνυε τὴν ζύμην.
kinsmen my when the people put-away the leaven
ἐγὼ οὖν, ἀδελφοὶ, ἑξήκοντα πέντε ἔτη ἔχων ἐν κυρίῳ, 24.7
I then brothers sixty five years having in (the)-Lord
καὶ συμβεβληκὼς τοῖς ἀπὸ τῆς οἰκουμένης ἀδελφοῖς,
and having-conversed-with the from the inhabited-world brothers
καὶ πᾶσαν ἁγίαν γραφὴν διεληλυθὼς, οὐ πτύρομαι ἐπὶ
and all holy scripture having-gone-through not I-am-frightened at
τοῖς καταπλησσομένοις. οἱ γὰρ ἐμοῦ μείζονες εἰρήκασι
the(-ones) terrifying(-us) those for than-me greater have-said
‘πειθαρχεῖν δεῖ θεῷ μᾶλλον ἢ ἀνθρώποις’.”
to-obey one-must God rather than men

24.8 τούτοις ἐπιφέρει περὶ πάντων γράφων τῶν συμπαρόντων
to-these he-adds about all writing the present-with
αὐτῷ καὶ ὁμοδοξούντων ἐπισκόπων ταῦτα λέγων
him and of-one-mind bishops these-things saying
"ἐδυνάμην δὲ τῶν ἐπισκόπων τῶν συμπαρόντων
I-could and the bishops the present
μνημονεῦσαι, οὓς ὑμεῖς ἠξιώσατε μετακληθῆναι ὑπ' ἐμοῦ,
to-mention whom you asked to-be-summoned by me
καὶ μετεκαλεσάμην· ὧν τὰ ὀνόματα ἐὰν γράφω, πολλὰ
and I-summoned(-them) whose the names if I-should-write many
πλήθη εἰσίν. οἱ δὲ ἰδόντες τὸν μικρόν μου ἄνθρωπον
multitudes are they and having-seen the small my man
συνηυδόκησαν τῇ ἐπιστολῇ, εἰδότες ὅτι εἰκῇ πολιὰς οὐκ
approved the letter knowing that in-vain gray-hairs not
ἤνεγκα, ἀλλὰ ἐν κυρίῳ Ἰησοῦ πάντοτε πεπολίτευμαι."
I-bore but in (the)-Lord Jesus always I-have-lived

24.9 ἐπὶ τούτοις ὁ μὲν τῆς Ῥωμαίων προεστὼς Βίκτωρ
upon these — indeed of-the of-Romans presiding Victor
ἀθρόως τῆς Ἀσίας πάσης ἅμα ταῖς ὁμόροις ἐκκλησίαις
all-at-once — of-Asia whole together-with the neighboring churches
τὰς παροικίας ἀποτέμνειν, ὡσὰν ἑτεροδοξούσας, τῆς
the parishes to-cut-off as heterodox from-the
κοινῆς ἑνώσεως πειρᾶται, καὶ στηλιτεύει γε διὰ
common unity attempts and denounces at-least through
γραμμάτων, ἀκοινωνήτους πάντας ἄρδην τοὺς ἐκεῖσε
letters excommunicate all utterly the there
ἀνακηρύττων ἀδελφούς.
proclaiming brothers

24.10 ἀλλ' οὐ πᾶσί γε τοῖς ἐπισκόποις ταῦτ' ἠρέσκετο.
but not to-all at-least the bishops these-things were-pleasing
ἀντιπαρακελεύονται δῆτα αὐτῷ τὰ τῆς εἰρήνης καὶ
they-exhort-in-return indeed him the(-things) of-the peace and

τῆς πρὸς τοὺς πλησίον ἑνώσεώς τε καὶ ἀγάπης φρονεῖν.
of-the toward the neighbors unity both and love to-mind
φέρονται δὲ καὶ αἱ τούτων φωναὶ, πληκτικώτερον
are-current and also the of-these words more-sharply
καθαπτομένων τοῦ Βίκτορος.
rebuking — Victor
ἐν οἷς καὶ ὁ Εἰρηναῖος ἐκ προσώπου ὧν ἡγεῖτο 24.11
among whom also — Irenaeus from (the)-person of-whom be-led
κατὰ τὴν Γαλλίαν ἀδελφῶν ἐπιστείλας παρίσταται μὲν
in — Gaul brothers having-written stands indeed
τῷ δεῖν ἐν μόνῃ τῇ τῆς κυριακῆς ἡμέρᾳ τὸ τῆς τοῦ
for-the to-be-needful on only the of-the Lord's day the of-the of-the
κυρίου ἀναστάσεως ἐπιτελεῖσθαι μυστήριον, τῷ γε μὴν
Lord resurrection to-be-performed mystery — at-least indeed
Βίκτορι προσηκόντως, ὡς μὴ ἀποκόπτοι ὅλας ἐκκλησίας
to-Victor fittingly that not he-should-cut-off whole churches
θεοῦ, ἀρχαίου ἔθους παράδοσιν ἐπιτηρούσας, πλεῖστα
of-God of-ancient custom (the)-tradition observing very-many
ἕτερα παραινεῖ, καὶ αὐτοῖς ῥήμασι τάδε ἐπιλέγων
other(-things) he-advises and in-very words these-things adding
"οὐδὲ γὰρ μόνον περὶ τῆς ἡμέρας ἐστὶν ἡ ἀμφισβήτησις,
not for only about the day is the dispute
ἀλλὰ καὶ περὶ τοῦ εἴδους αὐτοῦ τῆς νηστείας.
but also about the form itself of-the fast
οἱ μὲν γὰρ οἴονται μίαν ἡμέραν δεῖν αὐτοὺς νηστεύειν, 24.12
some indeed for think one day to-be-needful them to-fast
οἱ δὲ δύο, οἱ δὲ καὶ πλείονας· οἱ δὲ τεσσαράκοντα ὥρας
others and two others and also more others and forty hours
ἡμερινάς τε καὶ νυκτερινὰς συμμετροῦσι τὴν ἡμέραν αὐτῶν.
of-day both and of-night reckon-together the day their

24.13 καὶ τοιαύτη μὲν ποικιλία τῶν ἐπιτηρούντων οὐ νῦν ἐφ'
and such indeed variety of-the(-ones) observing not now in
ἡμῶν γεγονυῖα, ἀλλὰ καὶ πολὺ πρότερον ἐπὶ τῶν πρὸ
our(-time) having-arisen but also much earlier in the(-men) before
ἡμῶν, τῶν παρὰ τὸ ἀκριβὲς, ὡς εἰκὸς, κρατούντων τὴν
us those beyond the exactness as (is)-likely presiding the
καθ' ἁπλότητα καὶ ἰδιωτισμὸν συνήθειαν εἰς τὸ μετέπειτα
in simplicity and private-ignorance custom into the afterward
πεποιηκότων. καὶ οὐδὲν ἔλαττον πάντες οὗτοι εἰρήνευσάν
having-made and nothing less all these were-at-peace
τε καὶ εἰρηνεύομεν πρὸς ἀλλήλους, καὶ ἡ διαφωνία τῆς
both and we-are-at-peace with one-another and the disagreement of-the
νηστείας τὴν ὁμόνοιαν τῆς πίστεως συνίστησι."
fast the agreement of-the faith commends

24.14 τούτοις καὶ ἱστορίαν προστίθησιν, ἣν οἰκείως παραθήσομαι,
to-these also (a)-story he-adds which fittingly I-shall-set-forth
τοῦτον ἔχουσαν τὸν τρόπον "ἐν οἷς καὶ οἱ πρὸ Σωτῆρος
this having the manner among whom also the before Soter
πρεσβύτεροι οἱ προστάντες τῆς ἐκκλησίας ἧς σὺ
elders the(-ones) having-presided-over the church which you
νῦν ἀφηγῇ, Ἀνίκητον λέγομεν καὶ Πίον, Ὑγῖνόν τε
now lead Anicetus we-mean and Pius Hyginus both
καὶ Τελεσφόρον καὶ Ξύστον, οὔτε αὐτοὶ ἐτήρησαν οὔτε
and Telesphorus and Xystus neither themselves kept(-it) nor
τοῖς μετ' αὐτῶν ἐπέτρεπον, καὶ οὐδὲν ἔλαττον αὐτοὶ
to-the(-ones) after them permitted(-it) and nothing less they
μὴ τηροῦντες εἰρήνευον τοῖς ἀπὸ τῶν παροικιῶν,
not keeping(-it) were-at-peace with-the(-ones) from the parishes
ἐν αἷς ἐτηρεῖτο, ἐρχομένοις πρὸς αὐτούς· καίτοι μᾶλλον
in which it-was-kept coming to them although rather
ἐναντίον ἦν τὸ τηρεῖν τοῖς μὴ τηροῦσι.
contrary was the to-keep to-those not keeping

καὶ οὐδέποτε διὰ τὸ εἶδος τοῦτο ἀπεβλήθησάν τινες, 24.15
and never because-of the form this were-cast-out any
ἀλλ᾽ αὐτοὶ μὴ τηροῦντες οἱ πρὸ σοῦ πρεσβύτεροι τοῖς
but themselves not keeping(-it) the before you elders to-those
ἀπὸ τῶν παροικιῶν τηροῦσιν ἔπεμπον εὐχαριστίαν.
from the parishes keeping(-it) sent (the)-eucharist
καὶ τοῦ μακαρίου Πολυκάρπου ἐπιδημήσαντος τῇ Ῥώμῃ ἐπὶ 24.16
and the blessed Polycarp having-sojourned — in-Rome under
Ἀνικήτου, καὶ περὶ ἄλλων τινῶν μικρὰ σχόντες πρὸς
Anicetus and about other some(-things) small(-differences) having toward
ἀλλήλους εὐθὺς εἰρήνευσαν, περὶ τούτου τοῦ κεφαλαίου
one-another straightway were-at-peace about this the point
μὴ φιλεριστήσαντες εἰς ἑαυτούς. οὔτε γὰρ ὁ Ἀνίκητος
not having-quarreled with one-another neither for — Anicetus
τὸν Πολύκαρπον πεῖσαι ἐδύνατο μὴ τηρεῖν, ἅτε μετὰ
— Polycarp to-persuade was-able not to-keep inasmuch-as with
Ἰωάννου τοῦ μαθητοῦ τοῦ κυρίου ἡμῶν καὶ τῶν λοιπῶν
John the disciple of-the Lord our and the rest
ἀποστόλων, οἷς συνδιέτριψεν, ἀεὶ τετηρηκότα, οὔτε μὴν
apostles with-whom he-had-spent-time always having-kept(-it) nor indeed
ὁ Πολύκαρπος τὸν Ἀνίκητον ἔπεισε τηρεῖν, λέγοντα τὴν
— Polycarp — Anicetus persuaded to-keep(-it) saying the
συνήθειαν τῶν πρὸ αὐτοῦ πρεσβυτέρων ὀφείλειν κατέχειν.
custom of-the before him elders to-be-bound to-hold
καὶ τούτων οὕτως ἐχόντων ἐκοινώνησαν ἑαυτοῖς, καὶ 24.17
and these thus being they-communed with-one-another and
ἐν τῇ ἐκκλησίᾳ παρεχώρησεν ὁ Ἀνίκητος τὴν εὐχαριστίαν
in the church yielded — Anicetus the eucharist
τῷ Πολυκάρπῳ κατ᾽ ἐντροπὴν δηλονότι, καὶ μετ᾽ εἰρήνης
— to-Polycarp in respect plainly and with peace

ἀπ᾽ ἀλλήλων ἀπηλλάγησαν, πάσης τῆς ἐκκλησίας εἰρήνην
from one-another they-departed all the church peace
ἐχόντων καὶ τῶν τηρούντων καὶ τῶν μὴ τηρούντων."
having both the(-ones) keeping and the(-ones) not keeping

24.18 καὶ ὁ μὲν Εἰρηναῖος φερώνυμός τις ὢν τῇ
and — indeed Irenaeus name-bearing someone being in-the
προσηγορίᾳ, αὐτῷ τε τῷ τρόπῳ εἰρηνοποιὸς, τοιαῦτα
appellation itself and in-the manner peacemaker such(-things)
ὑπὲρ τῆς τῶν ἐκκλησιῶν εἰρήνης παρεκάλει τε καὶ
for the of-the churches peace exhorted both and
ἐπρέσβευεν. ὁ δ᾽ αὐτὸς οὐ μόνον τῷ Βίκτορι, καὶ
pleaded the and same(-man) not only — with-Victor also
διαφόροις δὲ πλείστοις ἄρχουσιν ἐκκλησιῶν τὰ κατάλληλα
with-various and very-many rulers of-churches the fitting(-things)
δι᾽ ἐπιστολῶν περὶ τοῦ κεκινημένου ζητήματος ὡμίλει.
through letters about the stirred question conversed

XXXIV · THE PALESTINIAN SYNOD AND THE ARTEMONITES

The bishops of Palestine say that Alexandria keeps the same day of Easter as they do. Eusebius lists further writings of Irenaeus and of other church writers of the time. An anonymous work against Artemon's heresy, that Christ was a mere man, shows that Victor excommunicated Theodotus the cobbler, its founder, and tells of Natalius, a confessor made bishop for the heretics, who repented after angels scourged him. The heretics corrupt the scriptures and prefer logic and geometry to faith.

25.1 Οἵ γε μὴν ἐπὶ Παλαιστίνης, οὓς ἀρτίως διεληλύθαμεν,
those at-least indeed in Palestine whom just-now we-went-through
ὅ τε Νάρκισσος καὶ Θεόφιλος, καὶ σὺν αὐτοῖς Κάσσιος
— both Narcissus and Theophilus and with them Cassius
τῆς κατὰ Τύρον ἐκκλησίας ἐπίσκοπος, καὶ Κλάρος τῆς
of-the at Tyre church bishop and Clarus of-the(-one)

ἐν Πτολεμαΐδι, οἵ τε μετὰ τούτων συνεληλυθότες περὶ
in Ptolemais those and with these having-assembled about
τῆς κατελθούσης εἰς αὐτοὺς ἐκ διαδοχῆς τῶν ἀποστόλων
the having-come-down to them from (the)-succession of-the apostles
περὶ τοῦ πάσχα παραδόσεως πλεῖστα διειληφότες,
about the Passover tradition very-much having-discussed
κατὰ τὸ τέλος τῆς γραφῆς αὐτοῖς ῥήμασιν ἐπιλέγουσι
at the end of-the writing in-very words add
ταῦτα "τῆς δ' ἐπιστολῆς ἡμῶν πειράθητε κατὰ
these-things of-the and letter our try throughout
πᾶσαν ἐκκλησίαν ἀντίγραφα διαπέμψασθαι, ὅπως μὴ
every church copies to-send so-that not
ἔνοχοι ὦμεν τοῖς ῥᾳδίως πλανῶσιν ἑαυτῶν τὰς
liable we-may-be to-those easily deceiving their-own the
ψυχάς. δηλοῦμεν δὲ ὑμῖν ὅτι τῇ αὐτῇ ἡμέρᾳ καὶ
souls we-show and to-you that on-the same day also
ἐν Ἀλεξανδρείᾳ ἄγουσιν, ἥπερ καὶ ἡμεῖς. παρ' ἡμῶν
in Alexandria they-keep(-it) on-which also we from us
γὰρ τὰ γράμματα κομίζεται αὐτοῖς καὶ ἡμῖν παρ'
for the letters are-carried to-them and to-us from
αὐτῶν, ὥστε συμφώνως καὶ ὁμοῦ ἄγειν ἡμᾶς τὴν ἁγίαν
them so-that harmoniously and together to-keep us the holy
ἡμέραν."
day

Ἀλλὰ γὰρ πρὸς τοῖς ἀποδοθεῖσιν Εἰρηναίου συγγράμμασι 26.1
but for besides the already-cited of-Irenaeus writings
καὶ ταῖς ἐπιστολαῖς φέρεταί τις αὐτοῦ πρὸς Ἕλληνας
and the letters is-current some his to Greeks
λόγος συντομώτατος καὶ τὰ μάλιστα ἀναγκαιότατος, περὶ
treatise most-concise and the most most-necessary On
ἐπιστήμης ἐπιγεγραμμένος· καὶ ἄλλος ὃν ἀνατέθεικεν
Knowledge entitled and another which he-dedicated

ἀδελφῷ, Μαρκιανῷ τοὔνομα, εἰς ἐπίδειξιν τοῦ
to-(a)-brother Marcianus by-name for (the)-demonstration of-the
ἀποστολικοῦ κηρύγματος· καὶ βιβλίον τι διαλέξεων
apostolic preaching and book some of-discourses
διαφόρων, ἐν ᾧ τῆς πρὸς Ἑβραίους ἐπιστολῆς καὶ
various in which the to Hebrews letter and
τῆς λεγομένης Σοφίας Σολομῶνος μνημονεύει, ῥητά
the called Wisdom of-Solomon he-mentions sayings
τινα ἐξ αὐτῶν παραθέμενος. καὶ τὰ μὲν εἰς
some from them having-set-forth and the(-things) indeed to
ἡμετέραν ἐλθόντα γνῶσιν τῶν Εἰρηναίου τοσαῦτα.
our having-come knowledge of-the of-Irenaeus so-many
Κομόδου δὲ τὴν ἀρχὴν ἐπὶ δέκα καὶ τρισὶν ἔτεσι
of-Commodus and the rule for ten and three years
καταλύσαντος αὐτοκράτωρ Σεβῆρος οὐδ' ὅλοις μησὶν
having-ended (the)-emperor Severus not-even whole months
ἓξ μετὰ τὴν Κομόδου τελευτὴν Περτίνακος διαγενομένου
six after the of-Commodus death Pertinax having-lived
κρατεῖ.
holds-power

27.1 Πλεῖστα μὲν οὖν παρὰ πολλοῖς εἰσέτι νῦν τῶν τότε
very-many indeed then among many still now of-the then
σώζεται παλαιῶν καὶ ἐκκλησιαστικῶν ἀνδρῶν ἐναρέτου
are-preserved ancient and ecclesiastical men of-virtuous
σπουδῆς ὑπομνήματα· ὧν γε μὴν αὐτοὶ διέγνωμεν,
zeal memorials of-which at-least indeed we-ourselves have-learned
εἴη ἂν τὰ Ἡρακλείτου εἰς τὸν ἀπόστολον, καὶ
would-be — the(-books) of-Heraclitus on the apostle and
τὰ Μαξίμου περὶ τοῦ πολυθρυλήτου παρὰ τοῖς
the(-books) of-Maximus on the much-discussed among the
αἱρεσιώταις ζητήματος, τοῦ πόθεν ἡ κακία, καὶ
heretics question the whence (is)-the evil and

περὶ τοῦ γενητὴν ὑπάρχειν τὴν ὕλην· τά τε
on the created to-be the matter the(-books) and
Κανδίδου εἰς τὴν ἑξαήμερον, καὶ Ἀπίωνος εἰς τὴν αὐτὴν
of-Candidus on the Hexaemeron and of-Apion on the same
ὑπόθεσιν· ὁμοίως Σέξτου περὶ ἀναστάσεως, καὶ ἄλλη τις
subject likewise of-Sextus On Resurrection and another some
ὑπόθεσις Ἀραβιανοῦ, καὶ μυρίων ἄλλων, ὧν διὰ τὸ
subject of-Arabianus and of-countless others of-whom because-of the
μηδεμίαν ἔχειν ἀφορμὴν οὐχ οἷόν τε οὔτε τοὺς χρόνους
no to-have starting-point not possible — neither the times
παραδοῦναι γραφῇ οὔθ' ἱστορίας μνήμην ὑποσημήνασθαι.
to-hand-down in-writing nor of-history (a)-record to-note
καὶ ἄλλων δὲ πλείστων, ὧν οὐδὲ τὰς προσηγορίας
and of-others too very-many of-whom not-even the appellations
καταλέγειν ἡμῖν δυνατὸν, ἦλθον εἰς ἡμᾶς λόγοι ὀρθοδόξων
to-list for-us (is)-possible came to us treatises of-orthodox
μὲν καὶ ἐκκλησιαστικῶν, ὥς γε δὴ ἡ ἑκάστου
indeed and ecclesiastical(-men) as at-least indeed the of-each
παραδείκνυσι τῆς θείας γραφῆς ἑρμηνεία, ἀδήλων δὲ
shows of-the divine scripture interpretation unknown but
ὅμως ἡμῖν, ὅτι μὴ τὴν προσηγορίαν ἐπάγεται τῶν
nevertheless to-us because not the appellation it-bears of-the(-men)
συγγραψαμένων.
having-written

Τούτων ἔν τινος σπουδάσματι μετὰ τῆς Ἀρτέμωνος 28.1
of-these in of-someone (the)-study with the of-Artemon
αἱρέσεως πεπονημένῳ, ἣν αὖθις ὁ ἐκ Σαμοσάτων
heresy labored which again — from Samosata
Παῦλος ὁ καθ' ἡμᾶς ἀνανεώσασθαι πεπείραται,
Paul the(-one) in our(-time) to-renew has-tried

φέρεταί τις διήγησις, ταῖς ἐξεταζομέναις ἡμῖν προσήκουσα
is-current some narrative to-the being-examined by-us appropriate
ἱστορίαις.
histories

28.2 τὴν γάρ τοι δεδηλωμένην αἵρεσιν, ψιλὸν ἄνθρωπον
the for surely shown heresy (a)-mere man
γενέσθαι τὸν σωτῆρα φάσκουσαν, οὐ πρὸ πολλοῦ
to-have-been the savior saying not before long
νεωτερισθεῖσαν διευθύνων, ἐπειδὴ σεμνύνειν αὐτὴν
newly-introduced correcting since to-glorify it
ὡσὰν ἀρχαίαν οἱ ταύτης ἤθελον εἰσηγηταὶ, πολλὰ
as ancient the of-it wished introducers many
καὶ ἄλλα εἰς ἔλεγχον αὐτῶν τῆς βλασφήμου
and other(-things) for refutation their of-the blasphemous
ψευδηγορίας παραθεὶς ὁ λόγος ταῦτα κατὰ λέξιν
false-assertion having-set-forth the treatise these-things according-to (the)-letter
ἱστορεῖ
records

28.3 "φασὶ γὰρ τοὺς μὲν προτέρους ἅπαντας καὶ
they-say for the indeed former all and
αὐτοὺς τοὺς ἀποστόλους παρειληφέναι τε καὶ
themselves the apostles to-have-received both and
δεδιδαχέναι ταῦτα, ἃ νῦν οὗτοι λέγουσι, καὶ
to-have-taught these-things which now these say and
τετηρῆσθαι τὴν ἀλήθειαν τοῦ κηρύγματος μέχρι
to-have-been-kept the truth of-the preaching until
τῶν χρόνων τῶν Βίκτορος, ὃς ἦν τρισκαιδέκατος
the times the of-Victor who was thirteenth
ἀπὸ Πέτρου ἐν Ῥώμῃ ἐπίσκοπος, ἀπὸ δὲ τοῦ
from Peter in Rome bishop from and the

διαδόχου αὐτοῦ Ζεφυρίνου παρακεχαράχθαι τὴν
successor his Zephyrinus to-have-been-falsified the
ἀλήθειαν.
truth

ἦν δ' ἂν τυχὸν πιθανὸν τὸ λεγόμενον, εἰ μὴ 28.4
it-would-be and — perhaps plausible the(-thing) said if not
πρῶτον μὲν ἀντέπιπτον αὐτοῖς αἱ θεῖαι γραφαί. καὶ
first indeed opposed them the divine scriptures and
ἀδελφῶν δέ τινων ἐστὶ γράμματα πρεσβύτερα τῶν
of-brothers too some there-are writings older than-the
Βίκτορος χρόνων, ἃ ἐκεῖνοι πρὸς τὰ ἔθνη ὑπὲρ τῆς
of-Victor times which those to the gentiles for the
ἀληθείας καὶ πρὸς τὰς τότε αἱρέσεις ἔγραψαν, λέγω δὲ
truth and against the then heresies wrote I-mean and
Ἰουστίνου καὶ Μιλτιάδου καὶ Τατιανοῦ καὶ Κλήμεντος
of-Justin and of-Miltiades and of-Tatian and of-Clement
καὶ ἑτέρων πλειόνων, ἐν οἷς ἅπασι θεολογεῖται ὁ
and others more in which all is-called-God —
Χριστός.
Christ

τὰ γὰρ Εἰρηναίου τε καὶ Μελίτωνος καὶ τῶν 28.5
the for of-Irenaeus both and of-Melito and of-the
λοιπῶν τίς ἀγνοεῖ βιβλία, θεὸν καὶ ἄνθρωπον
rest who is-ignorant-of books God and man
καταγγέλλοντα τὸν Χριστόν; ψαλμοὶ δὲ ὅσοι
proclaiming — Christ psalms and as-many-as
καὶ ᾠδαὶ ἀδελφῶν ἀπ' ἀρχῆς ὑπὸ πιστῶν
and odes of-brothers from (the)-beginning by faithful
γραφεῖσαι τὸν λόγον τοῦ θεοῦ τὸν Χριστὸν ὑμνοῦσι
written the word — of-God — Christ hymn
θεολογοῦντες.
speaking-of-(him)-as-God

28.6 πῶς οὖν ἐκ τοσούτων ἐτῶν καταγγελλομένου τοῦ
how then from so-many years being-proclaimed the
ἐκκλησιαστικοῦ φρονήματος ἐνδέχεται τοὺς μέχρι
ecclesiastical mind is-it-possible the(-men) until
Βίκτορος οὕτως, ὡς οὗτοι λέγουσι, κεκηρυχέναι; πῶς
Victor thus as these say to-have-preached how
δὲ οὐκ αἰδοῦνται ταῦτα Βίκτορος καταψεύδεσθαι,
and not are-they-ashamed these-things of-Victor to-tell-lies-against
ἀκριβῶς εἰδότες ὅτι Βίκτωρ Θεόδοτον τὸν σκυτέα, τὸν
exactly knowing that Victor Theodotus the cobbler the
ἀρχηγὸν καὶ πατέρα ταύτης τῆς ἀρνησιθέου ἀποστασίας,
founder and father of-this the God-denying apostasy
ἀπεκήρυξε τῆς κοινωνίας, πρῶτον εἰπόντα ψιλὸν
excommunicated from-the communion (as)-first having-said (a)-mere
ἄνθρωπον τὸν Χριστόν; εἰ γὰρ Βίκτωρ κατ᾽ αὐτοὺς
man — Christ if for Victor according-to them
οὕτως ἐφρόνει ὡς ἡ τούτων διδάσκει βλασφημία,
thus thought as the of-these teaches blasphemy
πῶς ἂν ἀπέβαλλε Θεόδοτον τὸν τῆς αἱρέσεως
how — would-he-have-cast-out Theodotus the of-the heresy
ταύτης εὑρετήν;" καὶ τὰ μὲν κατὰ τὸν Βίκτορα
this inventor and the(-things) indeed concerning — Victor
τοιαῦτα.
(were)-such

28.7 τούτου δὲ ἔτεσι δέκα προστάντος τῆς λειτουργίας
of-him and (for)-years ten having-presided-over the ministry
διάδοχος καθίσταται Ζεφυρῖνος, ἀμφὶ τὸ ἔνατον
(as)-successor is-appointed Zephyrinus about the ninth
τῆς Σεβήρου βασιλείας ἔτος. προστίθησι δὲ ὁ
of-the of-Severus reign year adds and the(-one)
τὸ προειρημένον συντάξας περὶ τοῦ κατάρξαντος
the aforesaid having-composed about the(-one) having-begun

τῆς δηλωθείσης αἱρέσεως βιβλίον καὶ ἄλλην κατὰ
the shown heresy book also another under
Ζεφυρῖνον γενομένην πρᾶξιν, ὧδέ πως αὐτοῖς
Zephyrinus having-happened deed thus somehow in-very
ῥήμασι γράφων “ὑπομνήσω γοῦν πολλοὺς τῶν
words writing I-will-remind at-any-rate many of-the
ἀδελφῶν πρᾶγμα ἐφ’ ἡμῶν γενόμενον, ὃ νομίζω
brothers (of-a)-thing in our(-time) having-happened which I-think
ὅτι εἰ ἐν Σοδόμοις ἐγεγόνει, τυχὸν ἂν κἀκείνους
that if in Sodom it-had-happened perhaps — even-those
ἐνουθέτησε.
it-would-have-admonished

Νατάλιος ἦν τις ὁμολογητὴς, οὐ πάλαι, ἀλλ’ ἐπὶ τῶν 28.8
Natalius was (a)-certain confessor not long-ago but in the
ἡμετέρων γενόμενος καιρῶν.
our having-been times

οὗτος ἠπατήθη ποτὲ ὑπὸ Ἀσκληπιοδότου καὶ ἑτέρου 28.9
this-one was-deceived once by Asclepiodotus and another
Θεοδότου τινὸς τραπεζίτου. ἦσαν δὲ οὗτοι ἄμφω
Theodotus some banker were and these both
Θεοδότου τοῦ σκυτέως μαθηταὶ, τοῦ πρώτου ἐπὶ
of-Theodotus the cobbler disciples the(-one) first for
ταύτῃ τῇ φρονήσει, μᾶλλον δὲ ἀφροσύνῃ, ἀφορισθέντος
this the opinion rather but folly having-been-separated
τῆς κοινωνίας ὑπὸ Βίκτορος, ὡς ἔφην, τοῦ τότε
from-the communion by Victor as I-said the then
ἐπισκόπου.
bishop

ἀνεπείσθη δὲ ὁ Νατάλιος ὑπ’ αὐτῶν ἐπὶ σαλαρίῳ 28.10
was-persuaded and — Natalius by them on (a)-salary
ἐπίσκοπος κληρωθῆναι ταύτης τῆς αἱρέσεως, ὥστε
bishop to-be-chosen of-this the heresy so-that

λαμβάνειν παρ᾽ αὐτῶν μηνιαῖα δηνάρια ἑκατὸν
to-receive from them monthly denarii hundred
πεντήκοντα.
fifty

28.11 γενόμενος οὖν σὺν αὐτοῖς δι᾽ ὁραμάτων πολλάκις
having-been then with them through visions often
ἐνουθετεῖτο ὑπὸ τοῦ κυρίου. ὁ γὰρ εὔσπλαγχνος θεὸς
he-was-admonished by the Lord the for compassionate God
καὶ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς οὐκ ἐβούλετο ἔξω
and Lord our Jesus Christ not wished outside
ἐκκλησίας γενόμενον ἀπολέσθαι μάρτυρα τῶν ἰδίων
(the)-church having-been to-perish (a)-witness of-the own
παθῶν.
sufferings

28.12 ἐπεὶ δὲ ῥᾳθυμότερον τοῖς ὁράμασι προσεῖχε, δελεαζόμενος
since and rather-carelessly to-the visions he-attended being-lured
τῇ τε παρ᾽ αὐτοῖς πρωτοκαθεδρίᾳ καὶ τῇ πλείστους
by-the both among them first-seat and by-the very-many
ἀπολλυούσῃ αἰσχροκερδείᾳ, τελευταῖον ὑπὸ ἁγίων ἀγγέλων
destroying love-of-gain finally by holy angels
ἐμαστιγώθη, δι᾽ ὅλης τῆς νυκτὸς οὐ σμικρῶς
he-was-scourged through whole the night not slightly
αἰκισθείς, ὥστε ἔωθεν ἀναστῆναι, καὶ ἐνδυσάμενον
having-been-tortured so-that early to-rise and having-put-on
σάκκον καὶ σποδὸν καταπασάμενον μετὰ πολλῆς
sackcloth and with-ashes having-sprinkled(-himself) with much
σπουδῆς καὶ δακρύων προσπεσεῖν Ζεφυρίνῳ τῷ ἐπισκόπῳ,
haste and tears to-fall-before Zephyrinus the bishop
κυλιόμενον ὑπὸ τοὺς πόδας οὐ μόνον τῶν ἐν
rolling under the feet not only of-the(-ones) in
κλήρῳ, ἀλλὰ καὶ τῶν λαϊκῶν, συγχέαι τε τοῖς
(the)-clergy but also of-the laymen to-confound and with-the

δάκρυσι τὴν εὔσπλαγχνον ἐκκλησίαν τοῦ ἐλεήμονος
tears the compassionate church of-the merciful
Χριστοῦ· πολλῇ τε τῇ δεήσει χρησάμενον, δείξαντά
Christ much and the entreaty having-used having-shown
τε τοὺς μώλωπας ὧν εἰλήφει πληγῶν μόλις
and the weals of-which he-had-received blows scarcely
κοινωνηθῆναι."
to-be-admitted-to-communion

τούτοις ἐπισυνάψωμεν καὶ ἄλλας περὶ τῶν αὐτῶν 28.13
to-these let-us-join also other about the same
τοῦ αὐτοῦ συγγραφέως φωνὰς, τοῦτον ἐχούσας τὸν
of-the same writer words this having the
τρόπον· "γραφὰς μὲν θείας ἀφόβως ῥεραδιουργήκασι,
manner scriptures indeed divine fearlessly they-have-falsified
πίστεώς τε ἀρχαίας κανόνα ἠθετήκασι, Χριστὸν δὲ
of-faith and ancient (the)-rule they-have-set-aside Christ and
ἠγνοήκασιν, οὐ τί αἱ θεῖαι λέγουσι γραφαὶ ζητοῦντες,
they-have-not-known not what the divine say scriptures seeking
ἀλλ' ὁποῖον σχῆμα συλλογισμοῦ εἰς τὴν τῆς ἀθεότητος
but what-sort figure of-syllogism for the of-the godlessness
σύστασιν εὑρεθῇ, φιλοπόνως ἀσκοῦντες· κἂν αὐτοῖς
establishment may-be-found laboriously practicing and-if to-them
προτείνῃ τις ῥητὸν γραφῆς θεϊκῆς, ἐξετάζουσι, πότερον
puts-forward anyone saying of-scripture divine they-examine whether
συνημμένον ἢ διεζευγμένον δύναται ποιῆσαι σχῆμα
conjunctive or disjunctive it-can make (a)-figure
συλλογισμοῦ.
of-syllogism

καταλιπόντες δὲ τὰς ἁγίας τοῦ θεοῦ γραφὰς γεωμετρίαν 28.14
having-left and the holy — of-God scriptures geometry
ἐπιτηδεύουσιν, ὡσὰν ἐκ τῆς γῆς ὄντες καὶ ἐκ
they-pursue as from the earth being and from

τῆς γῆς λαλοῦντες, καὶ τὸν ἄνωθεν ἐρχόμενον
the earth speaking and the(-one) from-above coming
ἀγνοοῦντες. Εὐκλείδης γοῦν παρά τισιν αὐτῶν
not-knowing Euclid at-any-rate by some of-them
φιλοπόνως γεωμετρεῖται, Ἀριστοτέλης δὲ καὶ Θεόφραστος
laboriously is-measured Aristotle and and Theophrastus
θαυμάζονται, Γαληνὸς γὰρ ἴσως ὑπό τινων καὶ
are-admired Galen for perhaps by some even
προσκυνεῖται.
is-worshiped

28.15 οἱ δὲ ταῖς τῶν ἀπίστων τέχναις εἰς τὴν τῆς
those and the of-the unbelievers arts for the of-the
αἱρέσεως αὐτῶν γνώμην ἀποχρώμενοι, καὶ τῇ τῶν
heresy their opinion misusing and by-the of-the
ἀθέων πανουργίᾳ τὴν ἁπλῆν τῶν θείων γραφῶν πίστιν
godless knavery the simple of-the divine scriptures faith
καπηλεύοντες, ὅτι μηδὲ ἐγγὺς πίστεως ὑπάρχουσι,
adulterating that not-even near faith they-are
τί δεῖ καὶ λέγειν; διὰ τοῦτο ταῖς θείαις
what one-must also to-say because-of this on-the divine
γραφαῖς ἀφόβως ἐπέβαλον τὰς χεῖρας, λέγοντες αὐτὰς
scriptures fearlessly they-laid the hands saying them
διωρθωκέναι.
to-have-corrected

28.16 καὶ ὅτι τοῦτο μὴ καταψευδόμενος αὐτῶν λέγω ὁ
and that this not falsely-accusing them I-say the(-one)
βουλόμενος δύναται μαθεῖν. εἰ γάρ τις θελήσει
wishing is-able to-learn if for anyone will
συγκομίσας αὐτῶν ἑκάστου τὰ ἀντίγραφα ἐξετάζειν
having-collected of-them each the copies to-examine
πρὸς ἄλληλα, κατὰ πολὺ ἂν εὕροι διαφωνοῦντα.
against one-another by much — he-would-find disagreeing

ἀσύμφωνα γοῦν ἔσται τὰ Ἀσκληπιάδου τοῖς
discordant at-any-rate will-be the(-copies) of-Asclepiades with-those
Θεοδότου.
of-Theodotus
πολλῶν δὲ ἔστιν εὐπορῆσαι, διὰ τὸ φιλοτίμως 28.17
many and it-is(-possible) to-procure because-of the ambitiously
ἐγγεγράφθαι τοὺς μαθητὰς αὐτῶν τὰ ὑφ' ἑκάστου
to-have-copied the disciples their the(-things) by each
αὐτῶν, ὡς αὐτοὶ καλοῦσι, κατωρθωμένα, τουτέστιν
of-them as they call corrected that-is
ἠφανισμένα. πάλιν δὲ τούτοις τὰ Ἑρμοφίλου
obliterated again and with-these the(-copies) of-Hermophilus
οὐ συνᾴδει. τὰ γὰρ Ἀπολλωνίδου οὐδὲ αὐτὰ
not agree the(-copies) for of-Apollonides not-even themselves
ἑαυτοῖς ἐστι σύμφωνα. ἔνεστι συγκρῖναι τὰ
with-themselves are harmonious it-is-possible to-compare the(-copies)
πρότερον ὑπ' αὐτῶν κατασκευασθέντα τοῖς
before by them prepared with-the(-ones)
ὕστερον πάλιν ἐπιδιαστραφεῖσι, καὶ εὑρεῖν πολὺ
later again further-perverted and to-find much
ἀπᾴδοντα.
discordant
ὅσης δὲ τόλμης ἐστὶ τοῦτο τὸ ἁμάρτημα, εἰκὸς 28.18
of-how-great and daring is this the sin (it-is)-likely
μηδὲ ἐκείνους ἀγνοεῖν. ἢ γὰρ οὐ πιστεύουσιν ἁγίῳ
not-even those to-be-ignorant either for not they-believe by-holy
πνεύματι λελέχθαι τὰς θείας γραφάς, καί εἰσιν
spirit to-have-been-spoken the divine scriptures and they-are
ἄπιστοι, ἢ ἑαυτοὺς ἡγοῦνται σοφωτέρους τοῦ ἁγίου
unbelievers or themselves they-consider wiser than-the holy
πνεύματος ὑπάρχειν, καὶ τί ἕτερον ἢ δαιμονῶσιν. οὐδὲ
spirit to-be and what other than they-are-possessed nor

γὰρ ἀρνήσασθαι δύνανται ἑαυτῶν εἶναι τὸ τόλμημα,
for to-deny are-they-able of-themselves to-be the daring-deed
ὁπόταν καὶ τῇ αὐτῶν χειρὶ ᾖ γεγραμμένα, καὶ
since even in-the their-own hand they-are written and
παρ᾽ ὧν κατηχήθησαν, μὴ τοιαύτας παρέλαβον τὰς
from whom they-were-instructed not such they-received the
γραφὰς, καὶ δεῖξαι ἀντίγραφα, ὅθεν αὐτὰ μετεγράψαντο,
scriptures and to-show copies whence them they-copied
μὴ ἔχωσιν.
not they-have

28.19 ἔνιοι δὲ αὐτῶν οὐδὲ παραχαράσσειν ἠξίωσαν
some and of-them not-even to-falsify thought-fit
αὐτὰς, ἀλλ᾽ ἁπλῶς ἀρνησάμενοι τόν τε νόμον
them but simply having-denied the both law
καὶ τοὺς προφήτας, ἀνόμου καὶ ἀθέου διδασκαλίας
and the prophets of-lawless and godless teaching
προφάσει χάριτος εἰς ἔσχατον ἀπωλείας ὄλεθρον
on-pretext of-grace to (the)-extreme of-perdition ruin
κατωλίσθησαν. καὶ ταῦτα μὲν τοῦτον ἱστορήσθω τὸν
slid-down and these-things indeed in-this let-be-recorded the
τρόπον.
manner